# EXCERPTA ANONYMI BYZANTINI EX CODICE PARISINO SUPPL. GR...

Paris bibl. nat, dépt. des MSS.

Digitized by Google

600084025P

290 j. 41

= T. Text Gr. 237

Digitized by Google

Digitized by Google

165

IIX

# Städtisches Gymnasium

zu

# OHLAU

1880

2. Wissenschaftlicher Teil

BIBLIOTHECA BODLEIANA

OHLAU,
Schnellpressendruck von A. Bial.

1880. Progr. Nr. 167.

Digitized by Google

# EXCERPTA

# ANONYMI BYZANTINI

## EX CODICE PARISINO

## SUPPL. GR. 607 A

EDIDIT

MAX. TREU

290. j. 41

Digitized by Google

Digitized by Google

## Περὶ Ἀδιαβηνῆς 1r

Αὕτη ἡ χώρα κεῖται πρὸ τῆς Μεσοποταμίας ὡς ἐπὶ ἀνα-
τολὴν πέραν τοῦ Τίγριδος· ἐν αὐτῇ δέ ἐστι καὶ ἄσφαλτος ἡ
λεγομένη νάφθα. λέγεται Ἀδιαβηνὴ διὰ τὸ εἶναι πλείονας
ποταμοὺς ἐν αὐτῇ καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. ἐκεῖ
ἐστι καὶ ἡ Νινευή. τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν
ἡ ἄσφαλτος, ὥστε ταῖς ὀπταῖς πλίνθοις καὶ τοῖς λεπτοῖς λίθοις
συμμιγεῖσα ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. ἐκεῖσε δέ ἐστι
καὶ τὸ Ἄορνον στόμιον, ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται· ὥστε
πᾶν μὲν ἐπίγειον ζῷον,|πᾶν δὲ πτηνὸν ἀποφθείρειν, καὶ εἰ 1v
πρὸς τὸ τυχὸν ὀσφρήσοιτο. καὶ εἰ ἐσκεδάννυτο, οὐκ ἂν ᾠκίσθη
ὁ χῶρος. ἀλλὰ κατ' εὐθεῖαν ἄνεισι καὶ ὀλίγον ἀνερχόμενον
πάλιν ἀντανακλᾶται· καὶ ἐκ τούτου τά τε ἐν ὑψηλοτέρῳ πετό-
μενα σώζεται καὶ τὰ πέριξ νεμόμενα. λέγει δὲ ὁ Δίων τοιοῦτόν
τι ἑωρακέναι ἐν Ἱεραπόλει τῆς Ἀσίας, ὅπερ πάντα τὰ ὀσφραι-
νόμενα φθείρει πλὴν τῶν εὐνούχων. ἔστι δὲ ἐν τῇ Ἀδιαβηνῇ
καὶ ἡ Κτησιφῶν:

## Περὶ Αὐγουστείου

Τῇ πέμπτῃ τοῦ Ὀκτωβρίου μηνὸς οἱ ῥεγεωνάρχαι καὶ
σεβαστοφόροι ἐχόρευον|ἐν τῷ Γουστείῳ, οἷον ἐν τῷ ὀψοπωλείῳ, 2r
εἰς τιμὴν Τιβερείου· τὸν δὲ τοιοῦτον τόπον νῦν οἱ ἰδιῶται Αὐ-
γουστεῖον καλοῦσιν. εἰς τὸ ἄσκεπον τῆς δάφνης εἰς τὴν μικρὰν

---

10 ζῷον, ο in rasura, erat ω  12 ἄνεισιν  13 ο in ὑψ., erat ω
22 ἄσκεπτον



Digitized by Google

αὐλὴν Κωνσταντῖνος ὁ μέγας ἔστησε στήλην τῆς ἑαυτοῦ μητρός, ἐξ ἧς ὠνόμασε τὸν τόπον Αὐγουστεῖον:

Περὶ ἀτραβατικῶν

Ἐν ταῖς ἑορταῖς καὶ τοῖς ἐπινικίοις καὶ παρόντων πρέσβεων ἐνεδύοντο χλαμύδας ποικίλας ἀπὸ χρυσοῦ καὶ πορφύρας ἢ ἄλλως πως πολυτελεῖς· ἐν δὲ ταῖς κοιναῖς συνόδοις ξηραμπελίνας τὸ χρῶμα, ἃς ἐκάλουν ἀτραβατικὰς ἢ ἀπὸ τοῦ χρώματος·|τὸ γὰρ μέλαν ἄτρον καλοῦσιν· ἢ ὅτι μετὰ τὰς τραβαίας 2v ταύταις εἰώθεσαν χρῆσθαι· τραβαῖαι δὲ λέγονται αἱ πολυτελεῖς χλαμύδες:

## Περὶ ἀγαλμάτων

Περὶ ἀγάλματος Ἰαννουαρίου

Τὸ ἄγαλμα τοῦ Ἰαννουαρίου ἱστοροῦσι τετράμορφον διὰ τὰς τέσσαρας τροπάς· ἄλλοι πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχοντα, ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ καὶ θυραῖον· ἕτεροι δὲ τῇ δεξιᾷ τριακοσίας, τῇ δὲ ἀριστερᾷ ἑξηκονταπέντε ψήφους κατέχοντα, ὥσπερ τὸν ἐνιαυτόν. ὅθεν καὶ ὁ Λογγῖνος Αἰωνάριον αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ|αἰῶνος πατέρα: 3r

Περὶ ἀγάλματος κρατοῦντος δόρυ

Τῆς δὲ Ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ, παρὰ τὸ σταθερὸν καὶ ἀνδρεῖον· ὁμοίως καὶ ἀσπίδα, παρὰ τὸ πᾶσαν ἐπιβουλὴν διὰ τῆς σοφίας ἀπωθεῖσθαι. ἡ αὐτὴ γάρ ἐστι τῷ νῷ. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον· καὶ ἐλαίαν, ὡς καθαρωτάτης οὐσίας οὔσης· φωτὸς γὰρ ὕλη ἡ ἐλαία. καὶ Γοργόνα διδόασιν ἐπὶ τοῦ στήθους αὐτῇ διὰ τὸ ταχὺ τοῦ νοῦ:

Περὶ ἀγάλματος κρατοῦντος κιθάραν

Κιθάραν ἐπὶ χειρῶν πλάττουσι τοῦ Ἀπόλλωνος, οἱονεὶ τὸν ἥλιον τὴν τοῦ παντὸς ἁρμονίαν·|κιρνώμενος γὰρ τοῖς 3v λοιποῖς ἀστράσι καὶ τίκτει καὶ ζωογονεῖ:

---

1 ἔστησεν 4 τοῖς addidi 6 πολυτελέσιν 9 τραβαῖα 10 μύδες pro χλ. 16 θυραιον 17 ψήφους addidi 18 λογγινος 28 ἀγάματος 31 ἀστρᾶσι

Digitized by Google

### Περὶ ἀγάλματος τοῦ ἐν τῷ Αὐγουστείῳ ἐφίππου κρατοῦντος σταυρὸν καὶ σφαῖραν

Κτίσας ὁ μακάριος Ἰουστινιανὸς τὴν ἁγίαν Σοφίαν ἐκάθηρε τὴν αὐλὴν καὶ ἐμαρμάρωσεν αὐτὴν τὸ πρὶν οὖσαν Γουστεῖον, ὃ ἑρμηνεύεται ὀψοπωλεῖον· καὶ ἔστησε τὴν ἑαυτοῦ εἰκόνα ἐπὶ κίονος ἔφιππον. καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ φέρει σφαῖραν, ἐμπεπηγότος σταυροῦ ἐν αὐτῇ, ὑποσημαίνοντος, ὡς διὰ τῆς εἰς τὸν σταυρὸν πίστεως τῆς γῆς ἐγκρατὴς γέγονε· σφαῖρα μὲν γὰρ ἡ γῆ διὰ τὸ σφαιροειδὲς τοῦ αὐτῆς σχήματος·| πίστις δὲ ὁ σταυρὸς διὰ τὸν ἐν αὐτῷ σαρκὶ προσηλωθέντα θεόν. 4r
τὴν δὲ δεξιὰν χεῖρα ἀνατεταμένην ἔχει κατὰ ἀνατολὰς στάσιν τῶν Περσῶν σημαίνων καὶ μὴ μεταβαίνειν ἐπὶ τῆς Ῥωμαϊκῆς γῆς, διὰ τῆς ἀνατάσεως καὶ ἀπώσεως τῆς χειρὸς βοῶν· στῆτε καὶ μὴ πρόσω χωρεῖτε· οὐ γὰρ συνοίσει ὑμῖν:

### Περὶ ἀγάλματος ἔχοντος ψαλῖδα χαλκῆν

Τὴν Ἥραν λέγουσιν εἶναι τὸν ἀέρα· καὶ ἐπεὶ ὁ ἀὴρ καθαίρει, ποιοῦσι τῆς Ἥρας ἄγαλμα βαστάζον ψαλῖδα χαλκῆν· ἀπὸ μεταφορᾶς ψαλῖδος τῆς ἀποκειρούσης τὰς τρίχας|καὶ 4v
ἀποδεικνυούσης καθαρὸν τὸ σῶμα:

### Περὶ ἀγάλματος βαστάζοντος πύργους

Τὴν Δήμητρα οἱ παλαιοὶ τὴν γῆν λέγουσιν οἱονεὶ Γήμητρα καὶ ἐπεὶ ἕδρα πάσης πόλεως ἡ γῆ ἐστιν ὡς βαστάζουσα τὰς πόλεις, πλάττεται πυργοφόρος:

### Περὶ ἀγάλματος κτένα φέροντος

Τῆς Ἀφροδίτης τὸ ἄγαλμα κτένα φέρον· ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξὶ κνήφην λοιμώδη γενέσθαι καὶ ξυρουμένων πασῶν, γεγόνασιν αὐταῖς οἱ κτένες ἀχρεῖοι· εὐξαμένας δὲ τῇ Ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν ἀγάλματι κτένα φέρουσαν. πλάττουσι δὲ αὐτὴν καὶ γένειον ἔχουσαν, ὅτι καὶ|ἄρρενα καὶ θήλεα ἔχει ὄργανα· αὐτὴν γὰρ 5r
λέγουσι τὴν ἔφορον γενέσεως τοῦ παντός, καὶ ἀπὸ τῆς ὀσφύος καὶ ἄνω λέγουσιν αὐτὴν ἄρρενα· τὰ δὲ κάτω θήλεα. πλάτ-

---

2 ν in κρατοῦντος a sec. manu supra   7 καὶ post αὐτῇ omisi
15 ἔχοντα   ψαλίδα et sic semper acutus   24 φέροντα   26 κνίφην

Digitized by Google

τουσι δὲ αὐτὴν καὶ ἔφιππον, ὅτι ὁ Αἰνείας ὁ υἱὸς αὐτῆς πλεύσας μέχρι τῆς δύσεως μετὰ τοῦτο ἵππῳ ἐπέβη καὶ τὴν μητέρα ἐτίμησε τοιούτῳ ἀγάλματι:

### Περὶ ἀγάλματος τοῦ Ἡρακλέους βαστάζοντος τῇ ἀριστερᾷ χειρὶ τρία μῆλα

Τὸν Ἡρακλέα τὸν χρόνον λέγουσιν, ὅς ἐστι τριμερής· ἔαρ, θέρος καὶ χειμών:

### Περὶ ἀγάλματος τοῦ Διός

Ἄγαλμα πλάττουσι τοῦ Διὸς | καθήμενον γυμνὰ ἔχον τὰ 5v
ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα. κρατεῖ δὲ τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δὲ δεξιᾷ ἀετὸν προτείνει. καὶ τὸ μὲν καθῆσθαι τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται· τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν, ὅτι φανερὸς τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσι, τὰ δὲ λοιπὰ σκέπεται, ὅτι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωστος· τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν σημαίνει τὸ ἐξουσιαστικόν· τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν ὑποδηλοῖ, ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων: | 6r

### Περὶ ἀγάλματος πτερωτοῦ τοῦ Ἑρμοῦ

Τὸν Ἑρμῆν οἱ Ἕλληνες καὶ οἱ λοιποὶ τῶν ἀρχαίων κατὰ τὴν αὐτῶν πεπλανημένην θεολογίαν υἱὸν Διὸς λέγουσι καὶ Μαίας· Διὸς μὲν οἷον τοῦ νοῦ, Μαίας δὲ τῆς φρονήσεως· ἐκ νοῦ γὰρ καὶ φρονήσεως ὁ λόγος γεννᾶται· διὰ τοῦτο καὶ πτερωτὸν αὐτὸν ποιοῦσιν, ὡς ταχύν· οὐδὲν γὰρ λόγου ταχύτερον· ὅθεν καὶ Ὅμηρος ἔφη ἔπεα πτερόεντα, καὶ ὡσεὶ πτερὸν ἠὲ νόημα. πάντων δὲ νεώτατον αὐτὸν ἐργάζονται διὰ τὸ μὴ γηράσκειν τὸν λόγον. ἀλλὰ καὶ τετράγωνον αὐτὸν ποιοῦσι διὰ τὴν στερρότητα τοῦ ἀληθοῦς λόγου: |

### Περὶ ἀγάλματος τῆς Εὐγνωμοσύνης 6v

Ἄγαλμα τῆς Εὐγνωμοσύνης τῇ δεξιᾷ σκῆπτρον κατέχει, ὡς ἰσχυούσης τῆς Εὐγνωμοσύνης· καὶ τῇ ἀριστερᾷ βιβλίον διὰ τὸ τὸν εὐγνώμονα δεῖσθαι ἀναμνήσεως, ἥτις διὰ βιβλίων γίνεται:

---

4 ἠρακλέος  6 μερής  9 ἔχοντα  25 γηρασκεῖν  31 δέεσθαι

Περὶ ἀγάλματος Πριάπου

Τὸ ἄγαλμα τοῦ Πριάπου, τοῦ Ὥρου παρ' Αἰγυπτίοις
κεκλημένου, ἀνθρωποειδὲς ποιοῦσιν, ἐν τῇ δεξιᾷ σκῆπτρον
κατέχον, ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηρὰν καὶ τὴν θά-
λασσαν· ἐν δὲ τῇ εὐωνύμῳ κρατοῦν τὸ αἰδοῖον αὐτοῦ ἐντετα-
μένον, ὅτι τὰ κεκρυμμένα ἐν τῇ γῇ σπέρματα φανερὰ καθίστησι·
τὰ δὲ πτερὰ τὴν|ταχυτῆτα τῆς κινήσεως, τὸν δὲ κύκλον τοῦ 7r
δίσκου τὴν περιφέρειαν· ταυτὸν γὰρ εἶναι τῷ ἡλίῳ αὐτὸν δοξά-
ζουσιν· ὡς γὰρ εἴρηται ἀνθρωπόμορφον ἔχει ἄγαλμα, ἐν τῇ
δεξιᾷ σκῆπτρον κατέχον· ἐν δὲ τῇ εὐωνύμῳ τὸ αὐτοῦ αἰδοῖον
ἐντεταμένον· ἐπὶ δὲ τούτου πτερά· κατὰ μέσον δὲ τῶν πτερῶν
δισκοειδὴς κύκλος:

Περὶ ἀγάλματος τῆς γῆς

Ὅτι γυναῖκα πλάττουσι τὴν Ἑστίαν, οἱονεὶ τὴν γῆν·
τύμπανον βαστάζουσαν, ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν
συγκλείει:

Περὶ ἀγάλματος ἔχοντος ἐν τῇ κεφαλῇ κέρατα|

Περὶ ἀγάλματος Σελεύκου τοῦ δι' ἀνδρείαν ὀνομασθέντος 7v
Νικάνορος, τοῦ δόντος τῷ ἰδίῳ υἱῷ Ἀντιόχῳ τὴν Στρατονίκην
τὴν ἑαυτοῦ γυναῖκα ἐρασθέντι αὐτῆς καὶ διὰ τὸν πρὸς αὐτὴν
ἔρωτα ἀσθενήσαντι καὶ ἐπικρυπτομένῳ, γνωσθέντι δὲ ὑπὸ
Ἐρασιστράτου τοῦ ἰατροῦ, φασὶ συνόντα Σέλευκον Ἀλεξάνδρῳ
τῷ Μακεδόνι ταῦρον θυομένῳ ἀποδράντα μόνον Σέλευκον περι-
γενέσθαι αὐτοῦ τῶν κεράτων κρατήσαντα· καὶ διὰ τοῦτο τῷ
ἀγάλματι αὐτοῦ περιτιθέασι τῇ κεφαλῇ κέρατα:

Περὶ ἀγάλματος τοῦ Ἑρμοῦ βαστάζοντος Μάρσιππον|

Τοῦ κέρδους αἴτιον λέγουσι καὶ τῶν ἐμποριῶν τὸν Ἑρμῆν· 8r
ὅθεν καὶ τὸ ἄγαλμα αὐτοῦ ἱστῶσι βαστάζον Μάρσιππον· ἀλλὰ
καὶ οἱ Φοίνικες τοὺς θεοὺς αὐτῶν πλάττουσιν ἐπιφέροντας βα-
λάντια, ὡς τοῦ χρυσοῦ συμβόλου ὄντος δυναστείας· οἱ δὲ

2 ὤρου 5 κρατῶν 6 καθίστησιν 17 ἔχοντα 22 συνῶντα
23 αποδραντα

Digitized by Google

Ἕλληνες σιδηροφοροῦντας αὐτοὺς πλάττουσιν, ὡς τοῖς ὅπλοις ὑποταττομένων τῶν ἀνθρώπων:

### Περὶ Αὐγούστου μηνός

Ὁ Αὔγουστος ὁ Ὀκταούιος Αὐγούστῳ μηνὶ ὑπάτευσε καὶ ἐτίμησε τὸν μῆνα, Σεξτίλιον τὸ πρὶν λεγόμενον, ὀνομάσας Αὔγουστον. ἐν αὐτῷ δὲ καὶ ἐτελεύτησε τῇ ἐννέα καὶ δεκάτῃ ἡμέρᾳ· μηνὶ δὲ|Σεπτεμβρίῳ ἐγεννήθη εἰκάδι τρίτῃ· καὶ τῇ 8v
δευτέρᾳ αὐτοῦ τοῦ Σεπτεμβρίου μηνὸς Ἀντώνιον ἐνίκησε καὶ ἤρξατο τῆς μοναρχίας· καὶ ἐτίμησεν αὐτὸν ἀρχὴν ἰνδικτιῶνος αὐτὸν ποιησάμενος, ἤτοι ἀρχὴν χρόνου, ὅθεν ὁ Σεπτέμβριος τετίμηται:

### Περὶ Αὐγούστου εὐτυχίας

Φησὶν Ἀππιανὸς Δίων τε καὶ ἄλλοι οἱ τὰ Ῥωμαϊκὰ ἱστορήσαντες, ὡς ὁ Καῖσαρ ἀπὸ Νικοπόλεως πρὸς τὸ Δυρράχιον περῶν μεγάλου κλύδωνος γενομένου καὶ τοῦ κυβερνήτου ἐξαπορήσαντος, ἀγνοοῦντος, ὡς τὸν Καίσαρα φέρει· ἦν γὰρ κεκαλυμμένος τοῦ μὴ γνωρίζεσθαι· ἀνακαλυ|ψάμενος εἶπε πρὸς 9r
τὸν κυβερνήτην· ἴθι πρὸς τὸν κλύδωνα· Καίσαρα φέρεις καὶ τὴν Καίσαρος τύχην:

### Περὶ ἀγάλματος ἐν πέτρᾳ τῆς Ἀραβίας

Θεοσάρης θεὸς σέβεται παρ' αὐτοῖς, ἤγουν θεὸς Ἄρης· τόνδε γὰρ μάλιστα τιμῶσι· τὸ δὲ ἄγαλμα λίθος ἐστὶ μέλας τετράγωνος ἀτύπωτος, ὕψος ποδῶν τεσσάρων, εὖρος δύο, βάθος ἑνός· ἀνάκειται δὲ ἐπὶ βάσεως χρυσηλάτου. τούτῳ θύουσι καὶ τὸ αἷμα τῶν ἱερείων προχέουσι· τοῦτο αὐτοῖς ἐστιν ἡ σπονδή· ὁ δὲ οἶκος ἅπας ἐστὶ πολύχρυσος· οἵ τε γὰρ τοῖχοι χρύσειοι καὶ τὰ ἀνα|θήματα πολλά ἐστιν: 9v

### Περὶ ἀνδρείας

Οἱ Νώρικοι οὐ πόλεως ὄνομά ἐστιν, ἀλλὰ τοῦ ἔθνους· ἡ δὲ πόλις ἡ προὔχουσα ἐπὶ κρημνοῦ τέ ἐστι χαλεποῦ, καθάπερ ἅπασαι διὰ τοὺς πολέμους ἦσαν τέως ἐπὶ κρημνῶν. τὸ δὲ ὄνομά ἐστιν αὐτῇ Οὐιρούνιον φωνῇ τῇ λατίνῃ· γείτονες γὰρ

4 ὑπάτευσεν 5 σεξτήλιον 14 καίσαρ 15 γενομενου ἐξάπορήσαντος 25 πρὸς χέουσιν 26 τόχχος 30 πρόυχουσα

Digitized by Google

εἰσι καὶ τὰ ὅμορα πάντα χρῆται τῇ Ἰταλίῳ γλώσσῃ· δύναται μὲν οὐῒρ ἀνὴρ εἶναι, ὁ δὲ οὖνους εἷς. συὸς δέ φασι χρῆμα θεόπεμπτον ἐπὶ λύμῃ τὴν χώραν ἐβόσκετο, καὶ αὐτῷ πάντες ἐπεχείρουν ἀθρόοι καὶ οὐχ ᾕρουν οἷα μήνιμα, μέχρι τις ἀνήρ, θεό|πεμπτος ἄρα. καὶ ὅδε τὸν σῦν περιτρέψας ἐπὶ τοὺς ὤμους 10r ἀνέθετο, οἷόν τι καὶ παρ' Ἕλλησιν ἐν Καλυδῶνι μυθεύεται περὶ χρῆμα συὸς μέγα καὶ ταύρου κατὰ τὴν Ἀττικήν. οἱ Νώρικοι δὲ ἐπεβόησαν· εἷς ἀνήρ· τῇ ἰδίᾳ φωνῇ, τοῦτ' ἔστιν οὐϊρούνους· ὅθεν ἡ πόλις Οὐϊρούνιον ἐκλήθη:

### Ἄλλο περὶ Γετῶν

Φασὶ τοὺς Γέτας γυμναζομένους ὅπλα τε κατασκευάσαι καὶ μηχανὰς μείζους τῶν συνήθων. λιθοβόλοι μὲν ἐς πόδας ἠφίεσαν δισχιλίους· αἱ δὲ τὰ ἀκόντια ἔβαλον ἐς ἔτι πλείους:|

### Περὶ στηλῶν τῶν ἐν τῇ ἁγίᾳ Σοφίᾳ 10v

Ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῇ ἁγίᾳ Σοφίᾳ υκζ̅ στῆλαι ἀφῃρέθησαν, τοῦ Διὸς καὶ Κάρου τοῦ πατροιοῦ τοῦ Διοκλητιανοῦ καὶ τῶν δώδεκα ζῳδίων ☾ τε καὶ ♀ καὶ ἀρκτούρου ὑπὸ δύο στηλῶν Περσικῶν βασταζομένων, καὶ ὁ νότιος πόλος καὶ ἱέρεια τῆς Ἀθηνᾶς ἀπὸ τοῦ πλευροῦ τὸν Ἥρωνα τὸν φιλόσοφον μαντεύουσα, καὶ ταῦτα μὲν Ἑλληνικά· ἐκ δὲ τῶν Χριστιανῶν π̅ στῆλαι· Κωνσταντίου καὶ Κώνσταντος καὶ Γαλλίνου κουαίστωρος· Ἰουλιανοῦ ἐπάρχου· Ἰουλιανοῦ Καίσαρος· Λικιννίου|Αὐγούστου· Οὐαλεντινιανοῦ καὶ Θεοδοσίου καὶ Ἀρκαδίου· 11r Σαραπίωνος ὑπατικοῦ· Ἑλένης τῆς μητρὸς Κωνσταντίνου τρεῖς· ἃς Ἰουστινιανὸς μερίσας τῇ πόλει τὸν μέγαν νῦν ναὸν ᾠκοδόμησεν:

### Περὶ στήλης Μαναῒμ στρατηγοῦ

Ὅτι Μαναῒμ τοῦ στρατηγοῦ νικήσαντος Σκύθας ἔστησαν στήλην αὐτοῦ ἐν τῷ καλουμένῳ Ὠρείῳ, ὅ τινες καλοῦσι Μόδιον· ἦν γὰρ ὡρεῖον, ἔνθα νῦν ἵστανται κίονες πρὸ τοῦ οἴκου τοῦ Κρατεροῦ. ἔνθα ἵστατο καὶ μόδιος χαλκοῦς πλησίον τῶν

---

4 οὐχήρουν 5 ὅδε περιστρέφας 11 κατὰ σκευάσαι 19 ἱερεῖα 22 κοιαίστωρος, ι post ο ead. manu post additum 24 ελένης et sic saepius κωνσταντῖνου, ita aut sine accent. saepius 29 ἦν

χειρῶν. ἦν δὲ ὁ μόδιος δίκαιον μέτρον, ὡς ἂν τῷ χωρήματι
αὐτοῦ|καὶ πωλῶσι πάντες οἱ σιτοπρᾶται καὶ ἀγοράζωσιν οἱ 11v
σιτῶναι, καὶ τῷ ἴσῳ μέτρῳ δίδοται τὸ σιτηρέσιον. τοῦτο δὲ
ἐνομοθέτησεν Οὐαλεντινιανός. πιπράσκεσθαι δὲ τὸν σῖτον μοδίους
δώδεκα τῷ νομίσματι μηδενὸς ἀντιλέγοντος· ὅθεν τις ναύτης
βασιλεῖ σῖτον ἀπεμπωλῶν καὶ ἀδικῶν φωραθεὶς ἐν τῇ πράσει
τὴν δεξιὰν ἀφῃρέθη χεῖρα· οἱ δέ φασιν, ὅτι μᾶλλον ἀντεῖπε
τῷ βασιλεῖ ὡς ἀδίκως νομοθετήσαντι, καὶ διὰ τοῦτο ἀφῃρέθη
τὴν δεξιὰν χεῖρα· ὅθεν ἐτυπώθησαν αἱ χαλκαῖ χεῖρες τοῖς
λαμβάνουσι καὶ τοῖς διδοῦσιν, ἀμφοτέρους ἐκ τῶν προστε|ταγ- 12r
μένων μὴ ἀγανακτεῖν. ὅθεν καὶ Οὐαλεντινιανοῦ τοῦ βασιλέως
στήλη ἔξαμον ἐν τῇ δεξιᾷ χειρὶ κατέχουσα ἁρπαγῆναι εἰς
πάκτον διὰ τὸ καὶ αὐτὴν εἶναι ἀργυρᾶν μικρὰν ὑπὸ Κουρίου
προτίκτορος τῷ $\overline{\beta}$ ἔτει Ἰουστινιανοῦ:

### Περὶ στηλῶν τῶν ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ φόρου

Ὅτι ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ φόρου ἵστανται δύο στῆλαι Ἑλένης καὶ Κωνσταντίνου, καὶ σταυρὸς ἐν μέσῳ αὐτῶν, γράφων· εἷς ἅγιος. καὶ δύο ταχυδρόμων ὁμοίως στῆλαι· ἀνετέθησαν δὲ ὑπὸ τοῦ τὸν φόρον ἐπέχοντος:

### Περὶ τοῦ σταυροῦ τοῦ ἐν τῷ βορείῳ μέρει τοῦ φόρου|

Ὅτι ἐπὶ τὸ μέρος τὸ βόρειον τοῦ φόρου ἵστατο σταυρός, 12v
ὡς εἶδεν αὐτὸν ἐν τῷ οὐρανῷ Κωνσταντῖνος χρυσέμπλαστον·
ἐν τοῖς ἀκρωτηριακοῖς στρογγύλοις μήλοις. ἔνθεν καὶ αὐτὸς
καὶ οἱ υἱοὶ αὐτοῦ καθορῶνται χρυσέμβαφοι:

### Περὶ στήλης ἐφίππου ἐν τῷ μιλίῳ

Ὅτι ἐν τῷ μιλίῳ Θεοδοσίου στήλη ἵσταται ἐφίππου χαλκῆ, ἣν ἀνεγείρας πολλὰ σιτηρέσια τῇ πόλει ἐχαρίσατο:

### Περὶ στηλῶν τῶν ἐν τῷ περιπάτῳ

Ὅτι ἐν τῷ περιπάτῳ ἔφιπποι στῆλαι Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ καὶ Θεοδοσίου καὶ τοῦ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα:

---

1 ἣν 7 ἀντ᾽ εἶπεν 9 χαλκαὶ 12 ἔξαμμον 13 ἀργυρὰν 14 προκτίτορος 23 χρυσέμπλαστος 24 ἀκροτηριακοῖς 25 καθ᾽ ὁρῶνται 28 χαλκὴ

Digitized by Google

Περὶ τοῦ Ξηρολόφου|

Ὅτι τὸν Ξηρόλοφόν τινες πρώην Θέαμα ἐκάλουν· ἐν 13r αὐτῷ γὰρ κοχλίαι δεκαὲξ καὶ Ἀρτέμιδος συνθετὴ στήλη καὶ Σευήρου τοῦ κτίσαντος καὶ θεμάτιον τρίπουν. ἔνθα ἐθυσίασε πολλὰς θυσίας Σευῆρος, ἔνθα καὶ χρησμοὶ πολλοὶ τῷ τόπῳ γεγόνασι. καθ' ὃν καὶ κόρη παρθένος ἐτύθη. καὶ θέσις ἦν ἀστρονομικὴ λς̅ χρόνους διαρκέσασα:

Περὶ τῶν β̅ σταυρῶν τῶν ληστῶν

Ὅτι κάτωθεν τοῦ φόρου κεχωσμένοι ὑπάρχουσι σταυροὶ τῶν δύο ληστῶν καὶ βικίον μύρου, ὃ ἠλείψατο ὁ Χριστός, καὶ πολλὰ ἕτερα σημειοφορικά, τεθέντα μὲν παρὰ Κων|σταντίνου 13v τοῦ μεγάλου, ἀσφαλισθέντα δὲ ὑπὸ τοῦ μεγάλου Θεοδοσίου:

Περὶ γεφύρας

Ὅτι ἐν τῷ ἁγίῳ Μάμαντι ἵστατο γέφυρα μεγάλη, περὶ δώδεκα καμάρας ἔχουσα· ποταμὸς γὰρ κατήρχετο παμμεγέθης, καὶ μάλιστα τῷ Φεβρουαρίῳ μηνί. ἔνθα καὶ δράκων ἵστατο χαλκοῦς, διὰ τὸ λέγειν τινὰς δράκοντα οἰκεῖν ἐν τῇ γεφύρᾳ. ἔνθα καὶ πολλαὶ παρθένοι ἐτύθησαν καὶ πλῆθος προβάτων καὶ βοῶν καὶ ὀρνέων. Βασιλίσκος γάρ τις ἐρασθεὶς τοῦ τόπου, ὅς ἦν εἷς τῶν ἀπὸ Νουμεριανοῦ Καίσαρος, κτίσας κατῴ|κησεν 14r ἐν αὐτῷ, ἔνθα καὶ ναὸν τοῦ Διὸς ἤγειρε παμμεγέθη. ταῦτα δὲ πάντα Ζήνων τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ κατέλυσεν:

Περὶ ὀστῶν

Ὅτι ἐν τῷ ναῷ τοῦ ἁγίου Μηνᾶ ὄρυγμα εὑρέθη μέγα, ὅτε ἐκαθαίρετο, καὶ ὀστᾶ ἀνθρώπων γιγάντων εἰς πλῆθος, ἅτινα θεασάμενος Ἀναστάσιος ὁ βασιλεὺς καὶ ἐκπλαγεὶς εἰς τὸ παλάτιον κατέθετο εἰς θαῦμα ἐξαίσιον:

Περὶ στήλης εὐνούχου τινὸς ἐν τῇ χελώνῃ

Ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Προκοπίου ἐν τῇ χελώνῃ στήλη ἵστατο εὐνούχου τινός, ᾗ ἐν τῷ στήθει ἔγραφεν ὁ μετατιθεὶς θεμάτια τῷ βρόχῳ παραδοθήτω. ἦν δὲ ἡ στήλη Πλάτωνος κουβικουλαρίου, ὃς ἐν ταῖς ἡμέραις τοῦ βασιλέως Βασι-

4 ἐθυσίασεν 10 βηκίον ηλείψατο 14 περι 21 ἤγειρεν παμμεγέθει 30 ἢ



Digitized by Google

λίσκου πυρίκαυστος γέγονε· τῶν δὲ γονέων αὐτοῦ αἰτησάντων τῷ βασιλεῖ εἰς μνημόσυνον τοῖς ἀνταίρουσι βασιλεῖ στηλωθῆναι τὸν εὐνοῦχον Πλάτωνα, οὐκ ἐκώλυσεν. ἐν δὲ τῷ ἀνακαινίζεσθαι τὸν τοῦ μάρτυρος ναὸν μετετέθη εἰς τὸ ἱπποδρόμιον. οἱ δὲ οἶκοι τοῦ αὐτοῦ εὐνούχου σώζονται ἐν τῇ χελώνῃ ἕως τῆς σήμερον:

Περὶ τῶν ἐν τῷ κυνηγίῳ στηλῶν

Ἐν τῷ κυνηγίῳ τὸ πρότερον ἐρρίπτοντο οἱ βιοθάνατοι· | ἦσαν 15r δέ τινες ἐκεῖσε στῆλαι, καὶ ἀπελθὼν Θεόδωρος ὁ ἀναγνώστης μετὰ Ἱμερίου χαρτουλαρίου εἶδεν ἐκεῖσε στήλην μικρὰν τῷ μήκει καὶ πλατεῖαν καὶ παχεῖαν πάνυ. ἐμοῦ δὲ θαυμάζοντος, φησὶν ὁ Ἱμέριος, θαύμαζε, ὅτι ὁ κτίσας τὸ κυνήγιόν ἐστιν· ἐμοῦ δὲ εἰπόντος· Μαξιμῖνος ὁ κτίσας καὶ Ἀριστείδης ὁ καταμετρήσας, παρ' εὐθὺ πεσεῖν τὴν στήλην ἐκ τοῦ ἐκεῖσε ὕψους καὶ δοῦναι τῷ Ἱμερίῳ καὶ παραυτὰ θανατῶσαι. ἐμοῦ δὲ φοβηθέντος καὶ πρὸς τὴν ἐκκλησίαν φυγόντος καὶ καταγγέλλοντος τὸ | πραχθέν, 15v οὐδείς μοι ἐπίστευσεν, ἕως ὅρκοις αὐτοὺς ἐβεβαίωσα τὸ γεγονός. οἱ οὖν οἰκεῖοι τοῦ τελευτήσαντος καὶ φίλοι τοῦ βασιλέως σὺν ἐμοὶ ἐπορεύθησαν ἐν τῷ τόπῳ, καὶ πρὸ τοῦ τὸ πτῶμα τοῦ ἀνδρὸς προσεγγίσαι τὸ πτῶμα τῆς στήλης ἐθαύμαζον. Ἰωάννης δέ τις φιλόσοφός φησιν, ὅτι εὗρον ὑπὸ τούτου τοῦ ζῳδίου ἔνδοξον ἄνδρα τεθνηξόμενον. ἐξ οὗ Φιλιππικὸς ὁ βασιλεὺς πληροφορηθεὶς ἐκέλευσε τὸ αὐτὸ ζῴδιον ἐν τῷ αὐτῷ τόπῳ καταχωσθῆναι:

Περὶ τῶν $\overline{\beta}$ στηλῶν Βηρίνης τῆς γυναικὸς τοῦ μεγάλου Λέοντος |

Βηρίνης τῆς γυναικὸς τοῦ μεγάλου Λέοντος δύο στῆλαί 16r εἰσι· μία μὲν βορειοτέρα τοῦ ἁγίου Ἀγαθονίκου μετὰ τὴν ἄνοδον τῶν ἀναβαθμῶν· ἑτέρα δὲ κατὰ τὸ μέρος τῆς ἁγίας Βαρβάρας. καὶ ἡ μὲν τοῦ ἁγίου Ἀγαθονίκου γέγονε ζῶντος Λέοντος, τῆς δὲ ἁγίας Βαρβάρας μετὰ τελευτὴν αὐτοῦ, ἡνίκα Βασιλίσκον τὸν ἀδελφὸν αὐτῆς ἔστεψε, φυγόντος Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς:

---

3 οὐκεκώλισεν· ἐν δὲ τὸ    5 τὴν    10 μίκει    18 βάσιλέως
20 πρὸσ ἐγγίσαι    27 εἰσίν    ἄνωδον    28 ἀναβάθμων sic et infra

Digitized by Google

**Περὶ Εὐφημίας τῆς γυναικὸς Ἰουστίνου**

Εὐφημίας τῆς γυναικὸς Ἰουστίνου τοῦ Θρᾳκὸς στήλη ἵσταται ἐν τῇ ἁγίᾳ Εὐφημίᾳ τῇ ὑπ' αὐτῆς κτισθείσῃ:|

**Περὶ τῆς Ἀρκαδίας εἰς Ἀρκαδιανάς** 16v

Ἀρκαδίας τῆς δευτέρας γυναικὸς Ζήνωνος ἐν τοῖς πλησίον μέρεσι τῶν βάθρων τῶν λεγομένων Τόπων, ἐν τοῖς τοῦ ἀρχιστρατήγου. ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκου, καὶ σεκρέτον τὸν τόπον ἐποίησε. τῆς δὲ ἑτέρας αὐτοῦ πρώτης γυναικὸς Ἀριάδνης καὶ αὐτοῦ Ζήνωνος ἐν τῇ βασιλικῇ πύλῃ:

**Περὶ στήλης Πουλχερίας**

Ὅτι ἐν τῇ χαλκῇ πλησίον Πουλχερίας τῆς ἀοιδίμου ὡς πρὸς τὸν περίπατον τὸν ἐν τῷ παλατίῳ:

**Περὶ στηλῶν τῶν ἐν τῇ καμάρᾳ τοῦ μιλίου**|

Ἐν τῇ καμάρᾳ τοῦ μιλίου στῆλαι Κωνσταντίνου καὶ 17r
Ἑλένης. ἔνθα καὶ σταυρὸς καὶ ἡ τύχη τῆς πόλεως μέσον τοῦ σταυροῦ:

**Περὶ στηλῶν Σοφίας καὶ Ἀραβίας**

Ἐν τῷ αὐτῷ μιλίῳ Σοφίας τῆς γυναικὸς Ἰουστίνου καὶ Ἀραβίας τῆς θυγατρὸς αὐτῆς καὶ Ἑλένης ἀνεψιᾶς αὐτῆς:

**Περὶ στηλῶν Ἀρκαδίου καὶ Θεοδοσίου**

Ἀρκαδίου καὶ Θεοδοσίου τοῦ υἱοῦ αὐτοῦ πλησίον τῆς στήλης Θεοδοσίου τοῦ μεγάλου, ἀμφότεραι ἐφ' ἵπποις:

**Περὶ στηλῶν τῶν ἐν τῷ τριβουναλίῳ**

Ἐν τῷ τριβουναλίῳ τοῦ παλατίου Εὐδοκίας τῆς γυναικὸς|
Θεοδοσίου καὶ αὐτοῦ Θεοδοσίου Μαρκιανοῦ τε καὶ Κωνσταν- 17v
τίνου. ἔνθα ὀρχήσεις τῶν δύο μερῶν ἐγίνοντο ἕως Ἡρακλείου:

**Θέαμα α̅**

Τῷ ἐν τῇ βασιλικῇ χρυσορόφῳ ὀπίσω τοῦ μιλίου ἦν ἀνδροείκελον ἄγαλμα χρυσέμβαφον· ἔνθα ἦν τὸ ἔξαμον Ἡρακλείου τοῦ βασιλέως· καὶ γονυκλινὲς Ἰουστινιανοῦ τοῦ τυράννου· ἐκεῖ ὁ Τέρβελις ἐδημηγόρησεν. ἐν οἷς ἐλέφας ἵστατο

---

6 ἀνχιστρ. 15 στραυρός 24 post τῷ rasura 28 χρυσωρόφωι 29 ἔξαμμον 31 ἐνοῖς

παμμεγέθης, ὑπὸ Σευήρου κατεσκευασμένος. ὅρος δὲ ἦν πρὸ
τοῦ μέρους τῶν ἀναβαθμῶν, ἔνθα καὶ|σχολὴ φυλαττόντων 18r
ὑπῆρχεν· ἔμενε δὲ ἐκεῖσε ἀργυροκόπος ἐν πλαστοῖς ζυγοῖς τὴν
πρᾶσιν ποιούμενος. καὶ τοῦ οἰκήματος αὐτοῦ πορθουμένου
ἠπείλει τῷ τὸν ἐλέφαντα φυλάττοντι θάνατον, εἰ μὴ τοῦτον
κρατήσει. ὁ δὲ θηροκόμος οὐκ ἐνεδίδου. ὃν φονεύσας ὁ ζυγο-
πλάστης δέδωκε βορὰν τῷ ἐλέφαντι. τὸ δὲ θηρίον ἀτίθασον
ὂν καὶ αὐτὸν ἀνεῖλε. καὶ ὁ Σευῆρος ἀκούσας τῷ θηρίῳ θυσίας
ἤνεγκεν. ἐν αὐτῷ δὲ τῷ τόπῳ παρευθὺ καὶ ἀνετυπώθησαν τό
τε θηρίον καὶ ὁ θηριοκόμος. ἔνθα καὶ|Ἡρακλῆς ἐλατρεύθη 18v
πολλὰς θυσίας δεξάμενος, ὃς ἐν τῷ ἱπποδρομίῳ μετετέθη. ἐπὶ
δὲ Ἰουλιανοῦ ὑπατικοῦ ἀπὸ Ῥώμης ἦλθεν ἐπὶ τὸ Βυζάντιον
καὶ εἰσήχθη ἐν ἀπήνῃ καὶ νηὶ καὶ στῆλαι ῑ:

Θέαμα β̄

Ὅτι ἅρμα ἡλίου ἐν τέτρασιν ἵπποις πυρίνοις ἱστάμενον
παρὰ δύο στηλῶν ἐκ παλαιῶν τῶν χρόνων ὑπῆρχεν ἐν τῷ ὡραίῳ
μιλίῳ. ἔνθα εὐφημίσθη Κωνσταντῖνος μετὰ τὸ νικῆσαι Ἀζώ-
τιον· ἐπειδὴ καὶ Βύζας ἐκεῖ εὐφημίσθη. κατενεχθὲν δὲ τὸ
ἅρμα ἐν τῷ ἱπποδρομίῳ δορυφορούμενον στηλίδιον καινὸν παρὰ
Κωνσταντίνου|κατασκευασθὲν ὑπὸ ἡλίου φερόμενον, Τύχη 19r
πόλεως εἰς τὸ στάμα εἰσήει, καὶ στεφανωθὲν ἐξῄει. ἐτίθετο
δὲ ἐν τῷ σενάτῳ ἕως τῶν ἐπιόντων γενεθλίων τῆς πόλεως.
διότι δὲ ἐπὶ κεφαλῆς αὐτοῦ σταυρὸν ἐχάραξε Κωνσταντῖνος,
Ἰουλιανὸς αὐτὸ βοθύνῳ κατέχωσεν:

Περὶ Ἀρείου

Ἔνθα Ἄρειος τὸν αἴσχιστον ὑπέστη θάνατον ἀπὸ τῆς
καμάρας ὡσεὶ κ̄θ̄ παλαιστάς. ἐτυπώθη ὑπὸ τοῦ θεοφιλοῦς
Θεοδοσίου Ἄρειος ἐν μαρμάρῳ ἀναγλύφῳ γειτνιῶντι τῇ γῇ καὶ
σὺν τῇ τοῦ Ἀρείου τοῦ Σαβελλίου Μακεδονίου Εὐνομίου πρὸς|
αἰσχύνην αὐτῶν ὡς ἂν οἱ παρερχόμενοι κόπρον καὶ οὖρα καὶ 19v
ἐμπτύσματα ἐπιρρίπτωσιν αὐτοῖς:

---

1 ὅρος 3 ἔμενεν 5 τοῦτο 7 βορρᾶν 8 ἀνεῖλεν ὠ
10 ἡρακλῆς 11 ἐπι 13 στηλῶν 20 κατάσκευασθὲν

Περὶ τοῦ κυναρίου

Ἐν τοῖς Ἀρτοπωλίοις κυνάριόν ἐστιν, οὔθατα ἕως τῶν κ̄
φέρον. ταῶνες δὲ καὶ ἀετοὶ καὶ λέαιναι λαγωοί τε καὶ κριῶν
κάραι καὶ στρουθῶν καὶ κορωνῶν καὶ τρυγόνος, μυὸς καὶ γα-
λέας καὶ δαμάλεως καὶ Γοργόνες δύο, μία ἐκ δεξιῶν καὶ ἡ
ἑτέρα ἐξ εὐωνύμων, ἡ μία τῇ ἑτέρᾳ κατόψιν βλεπόμεναι, ἀπὸ
μαρμάρων γεγλυμμέναι. ἵσταντο μέχρι Ζήνωνος. Γαληνὸς δέ
τις, ἰατρὸς καὶ φιλόσοφος ὑπάρχων, ἐκεῖσε περαιωθεὶς τὰς
Γορ|γόνας ἔλεγεν ἱερογλυφικὰ καὶ ἀστρονομικὰ ὄντα τῶν βα- 20r
σιλέων γράφειν τὰς ἱστορίας, Κωνσταντίνου τοῦ μεγάλου τυ-
πώσαντος. τοῦ δὲ αὐτοῦ Γαληνοῦ ἐπὶ πλεῖστον συχνάσαντος
καὶ τοῖς ἀναγνώσμασι προσέχοντος, τὰ μέλλοντα συμβαίνειν
Ζήνωνι παρὰ Βηρίνης καὶ γελάσαντος, Καλλίστρατός τις συρ-
φετὸς τῷ γένει, κάπηλος δὲ τῇ τέχνῃ, μετὰ τὴν ἐπάνοδον
Ζήνωνος διαβάλλει εἰς αὐτὸν τὸν Γαληνόν· ὁ δὲ Ζήνων τοῦτον
ἀνῃρήκει:

Περὶ τοῦ Ἀμαστριανοῦ

Ζεὺς ἥλιος ἐν ἅρματι μαρμαρίνῳ καὶ Ἡρακλῆς ὁ ἀνακεί-|
μενος. ἔνθα ποταμὸς ὁ ἀπὸ Λύκου λατρευόμενος. καὶ ἐν αὐτῷ 20v
χελῶναι μεσταὶ ὀρνίθων καὶ δράκαιναι δεκαοκτώ. ἐγίνοντο
δὲ ἐκεῖσε δαιμόνων ἐπιστασίαι:

Περὶ τοῦ βοός

Κάμινος ἦν ἐκεῖ ἐκτισμένη παμμεγέθης βοὸς ἔχουσα
κεφαλήν. ἔνθα οἱ κακοῦργοι ἐτιμωροῦντο· ὅθεν καὶ Ἰουλιανὸς
προφάσει τῶν καταδίκων πολλοὺς ἐν αὐτῷ χριστιανοὺς κατέ-
καυσεν. ἦν δὲ ἡ κάμινος βοὸς τύπος παμμεγεθεστάτου θέαμα,
οὗ κατὰ μίμησιν καὶ ἐν τῷ νεωρίῳ βοῦς ἀπετυπώθη. ἦν δὲ ὁ
βοῦς ἡ κάμινος |ἕως Φωκᾶ,|ἀλλ' ὑπὸ Ἡρακλείου ἐχωνεύθη 21r
λόγῳ νουμμίων:

Περὶ γοργονοειδῶν

Ὅτι ἐν τῇ χαλκῇ πύλῃ γοργονοειδεῖς [γυναικοειδεῖς]
κεφαλαὶ ἐκ τοῦ ναοῦ τῆς Ἀρτέμιδος τοῦ ἐν Ἐφέσῳ ἥκασιν

---

4 μιᾶς    31 γυν. ut glossam uncis inclusi

Digitized by Google

ὀκτώ· καὶ αἱ μὲν τέσσαρες ἐν τοῖς τοῦ Ταύρου μέρεσιν ἐν τοῖς παλαιοῖς παλατίοις προσεπάγησαν Κωνσταντίνου καὶ Ἰουλιανοῦ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ καὶ Γάλλου, τὰ δὲ τέσσαρα ἐν τῇ χαλκῇ εὐωνύμῳ μέρει. ἔνθα καὶ σταυρὸς ὑπὸ Ἰουστινιανοῦ πέπηγε καὶ Βελισαρίου καὶ Τιβέρειος ὁ κυρτοειδὴς Θρᾷξ καὶ Ἰουστῖνος ὁ πρῶτος|λεπτοειδὴς καὶ τῶν συγγενῶν 21v αὐτοῦ ἑπτά· αἱ μὲν ἀπὸ μαρμάρου, αἱ δὲ χαλκαῖ:

Περὶ τῶν Κονταρίων

Τὰ λεγόμενα Κοντάρια βίγλα ἦν μεγάλη τὸ πρότερον καὶ ἕως $\overline{\zeta}$ ἐτῶν ἐφυλάττετο ἐκεῖσε καὶ πολέμου γενομένου ἐκεῖσε δύο ἔτη ναὸς ᾠκοδομήθη εἰδώλων μικρὸς ὑπὸ Γαλλίνου· ὃν καθελὼν Κωνσταντῖνος τῆς θεοτόκου ναὸν ἤγειρε καὶ ἐνεχάραξε τὸν Χριστὸν καὶ ἑαυτὸν καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐπετέλεσε πανήγυριν ἡμέρας δώδεκα:

Περὶ τῶν Βιγλεντίου

Ὅτι ἐν τοῖς Βιγλεντίου ὀχυρωτάτη βίγλα ἦν τοῦ ἁγίου| Κωνσταντίνου: 22r

Περὶ τοῦ Φιλαδελφίου

Ὅτι νῦν τὸ Φιλαδέλφιον τὸ παλαιὸν ἐπὶ Κωνσταντίνου προτείχισμα ἦν καὶ πόρτα, ὑπὸ Κάρου κατασκευασθεῖσα. ἐκεῖ ἵστατο πρῶτον ἡ στήλη τοῦ φόρου, ἣν ἀπὸ τοῦ Φιλαδελφίου εἰς καροῦχαν ἤνεγκαν, ὡς δὲ ὁ διακρινόμενός φησιν, ἀπὸ τῆς Μαγναύρας. ἡ ἐν τῷ φόρῳ τεθεῖσα πολλὰς ὑμνῳδίας δεξαμένη εἰς τύχην τῆς πόλεως προσεκυνήθη παρὰ πάντων, ὑψωθεῖσα ἐν τῷ κίονι, τοῦ ἱερέως μετὰ τῆς λιτῆς παρεστηκότος καὶ μετὰ κραυγῆς τὸ κύριε ἐλέησον βοώντων|ἑκατοντάκις. λέγουσι δὲ 22v καὶ ἄνω πολλα παράδοξα πράγματα τεθῆναι. πανήγυρις δὲ ὑπὲρ τούτου γέγονε τεσσαρακονθήμερος, καὶ σιτηρέσια μὲν τότε πολλὰ ὁ βασιλεὺς δέδωκε. τῇ δὲ ἐπαύριον τὸ γενέθλιον τῆς πόλεως γέγονε μέγα ἱπποδρόμιον· ὅτε καὶ ἡ πόλις ὠνομάσθη Κωνσταντινούπολις:

---

2 πρὸσὲπάγησαν 5 πέπηγεν 6 $\overline{\alpha}$ pro πρῶτος 7 χαλκαί 12 ἤγειρεν ἐνεχείραξε 13 ἐπετέλεσεν 16 ἴσχυρωτάτη 23 ἢ 28 ὔπερ

### Περὶ τοῦ ἐν τῷ Φιλαδελφίῳ σταυροῦ

Ὅτι εἰς τὸ Φιλαδέλφιον ἔστησεν ἐπὶ κίονος ὁ ἅγιος Κωνσταντῖνος κεχρυσωμένον σταυρὸν κατὰ τὸν τύπον, ὃν εἶδεν ἐν τῷ οὐρανῷ, καὶ ἐκ τοῦ κίονος τοῦ σταυροῦ τοῦ πορφυροῦ αὐτοῦ στήλην. καὶ τῶν υἱῶν αὐτοῦ στήλας ἀνετύπωσε καὶ εἰς|θρόνους ἐτίμησεν: 23r

### Περὶ τοῦ σενάτου

Ὅτι ὁ φόρος τιμὴν ἔσχεν· ὡς οἶμαι δὲ τὸ σενᾶτον λέγει, ὅτι ἐξαρχῆς τοὺς κωδικέλλους οἱ πατρίκιοι ἐκεῖσε ἐλάμβανον ἕως Κωνσταντίνου. πρῶτος δὲ Καλλίστρατος τὴν ἀξίαν τοῦ ὑπάτου ἐκεῖσε ἐδέξατο τοῦ δήμου κράζοντος· Καλλίστρατος εὐτυχὴς καὶ εἰς ἄλλο προκόψει. ὁ δὲ φοβηθεὶς προσέφυγε τῇ ἐκκλησίᾳ. Κωνσταντῖνος δὲ ἐξωμόσατο μὴ ἀδικῆσαι αὐτόν. ὁ δὲ μὴ ἀνασχόμενος ἐχειροτονήθη πρεσβύτερος, εἶτα ἐπίσκοπος. ὅθεν πολλά μοι ἐκφέρεται διηγήματα:|

### Περὶ τῶν ἀπὸ Ῥώμης στηλῶν 23v

Ὅτι ἀπὸ Ῥώμης πολλὰ ἐνεχθέντα εἴδωλα ἔστησαν ἐν τῷ ἱπποδρομίῳ, ἐξαίρετα δὲ ἕξ, ἐν οἷς καὶ τὸ τοῦ Αὐγούστου:

### Περὶ τῆς γεννώσης θῆρας ἐν τῷ ἱπποδρομίῳ

Αἱ γεννῶσαι θῆρας καὶ ἀνθρώπους ἐσθίουσαι· ἡ μὲν μία ἐστὶν Ἰουστινιανοῦ τοῦ τυράννου, δηλοῦσα τὴν ἱστορίαν τῶν δευτέρων αὐτοῦ πράξεων· ἡ δὲ ἑτέρα, ἐν οἷς καὶ πλοῖον ὑπάρχει, μὴ πληρωθὲν μέλλει γενέσθαι:

### Περὶ τῆς καθεζομένης

Ἡ ἐν τῷ ἱπποδρομίῳ καθεζομένη εἰς σελλίον χαλκοῦν ὁ μὲν Ἡρωδίων τὴν Βηρί|ναν λέγει τὴν γυναῖκα τοῦ μεγάλου Λέοντος· ἄλλοι δέ φασιν Ἀθηνᾶν ἐξ Ἑλλάδος ἐλθοῦσαν: 24r

### Περὶ τῆς ὑαίνης

Ὅτι ἡ ὕαινα ἀπὸ Ἀντιοχείας τῆς μεγάλης ὑπὸ Κωνσταντίνου ἦλθεν:

### Περὶ τῶν ἑπτὰ φιλοσόφων

Ὅτι Κράνος ὁ φιλόσοφος, εἷς ὢν τῶν ἑπτὰ φιλοσόφων τῶν σὺν τῇ Εὐδοκίᾳ ἀνελθόντων ἐξ Ἀθηνῶν, ᾔτησε τὸν Θεο-

---

2 ἐπι 3 κεχρυσομένον 8 σινᾶτον 12 προσέφυγεν 20 γεννώσαι 25 σελίον 33 αθηνῶν

Digitized by Google

δόσιον ἰδεῖν τὰ ἐν τῷ ἱπποδρομίῳ στοιχεῖα. καὶ ἰδὼν τὸν περι-
χύτην καὶ τὸν ὄνον εἶπε· τίς ὁ στήσας; τοῦ δὲ ἀναγνώστου
εἰπόντος· Οὐαλεντινιανός· ὢ συμφορᾶς ἔφη, ὅτι ἄνθρωπος
ὄνῳ|ἀκολουθεῖ. ἦσαν δὲ οἱ φιλόσοφοι οὗτοι οἱ ἑπτά· Κράνος· 24v
Κάρος· Πέλοψ· Ἀπελλῆς· Νερούας· Σιλβανός· Κύρβος· θεω-
ρούντων δὲ ἱππεύοντα τὸν βασιλέα καὶ θαυμαζόντων ἔφη βασι-
λεύς· τί θαυμάζετε; ἀπεκρίθη δὲ Ἀπελλῆς· θαυμάζω εἰδώς,
ὅτι τῶν Ὀλυμπίων ἀλασσομένων ἵπποι γενήσονται ἀνθρώπων
ἐπιβάται καὶ τὸ θαυμάζον ἀμβλυωπιάσει. Νερούας ἔφη· κακὸν
τῇ βασιλίδι, ὅτι τὸ στοιχεῖον τοῖς στοιχείοις ἐπακολουθεῖ. καὶ
ὁ Σιλβανὸς τὸ ὀκλάζον ζῴδιον ἔφη καλῶς ἐστοχάσατο. καιροὶ
γὰρ ἐπὶ τούτου ἀγόνατοι ἔσονται. ὁ δὲ Κύρβος|τὸν δῆμον ἰδὼν 25r
εἶπεν· ὢ δῆμος, δι᾽ ὃν δήμιοι περισσεύουσιν. ὁ δὲ Κράνος ἰδὼν
ἀνδροείκελον γυμνόν, περικιφάλειαν τῇ κεφαλῇ περιφέρον καὶ
τὸν ὄνον ἔμπροσθεν, ἔφη, ὥς ποτε ὄνος ἄνθρωπος ἔσται καὶ
ὢ τῆς συμφορᾶς, ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖ. Πέλοψ δὲ τοὺς
ὅρους τῶν ἵππων ἰδὼν ἠρώτησε· τίνος τὸ πρόβλημα; τοῦ δὲ
Θεοδοσίου εἰπόντος· Κωνσταντίνου. ἐκεῖνον φάναι· ἢ φιλόσο-
φος ἄκυρος ἢ βασιλεὺς οὐκ ἀληθής. ἑώρα γάρ τι ὁ φιλόσοφος
θηλύμορφον ζῴδιον τετραμερέσι ζῳδιακοῖς γράμμασι γεγραμ-
μένον καὶ εἶπεν· ὢ τετραπέρατε, ἐξ οὗ Κωνσταντῖνος καὶ
ἀπέρατοι|ἔσονται. Κάρος δὲ προτραπεὶς εἶπεν· δυστυχῆ μοι τὰ 25v
πάντα φαίνεται, ὅτι εἰ ταῦτα τὰ στοιχεῖα, ὡς πειρῶνται, ἀληθεύ-
ουσιν, ἵνα τί ἡ πόλις συνέστηκεν:

## Περὶ Ἀσκληπιοδώρου

Ἀσκληπιόδωρος ἐπὶ Ἀναστασίου ἰδὼν τὸ ζῴδιον τὸ μέγα τὸ ἐν τῷ ἱππικῷ τὴν χεῖρα ἐπὶ τοῦ προσώπου κατέχον ἔφη· ὢ βία, ὅτι πᾶσα ἀνθρωπίνη ἔνδεια εἰς μίαν ἀνθρώπου φρόνησιν ἐζυμώθη. καί τις αὐτῷ ὑπέδειξε γράμματα ἐν τῷ μαρμάρῳ· ὁ δὲ ὑπαναγνούς φησιν· ἀγαθὸν μὴ φθάσαι τὰ τότε μέλλοντα εἶναι, ὡς καὶ ἐμοί τι κέρδος τοῦ μὴ ἀναγνῶναι:|

2 εἶπεν 3 συμφορὰ 7 in marg. ᾱ 9 in marg. β̄ 10 in marg. γ̄ 12 in marg. δ̄ 13 in marg. ε̄ 14 ἀνδρείκελον 16 in marg. ς̄ 17 ὅρους ἠρώτησεν 18 φᾶναι 19 ἡ et ita saepe pro ἢ αληθής 22 in marg. ζ̄ 27 τῶι pro τὸ 30 ὑπ᾽ ἀναγνοὺς

Digitized by Google

Περὶ τοῦ ταύρου

Ὅτι ἡ ἐν τῷ ταύρῳ στήλη τοῦ Θεοδοσίου ἐστίν· ἦν δὲ πρώην ἀργυρᾶ. ἔνθα τοὺς ἀπὸ τῶν ἐθνῶν ἥκοντας ἐδέχετο. ἦσαν γὰρ πρώην ἐκεῖ παλάτια: 26r

Περὶ τοῦ Φιλαδελφίου

Τὸ καλούμενον Φιλαδέλφιον υἱοί εἰσι τοῦ μεγάλου Κωνσταντίνου· ἡνίκα γὰρ Κωνσταντῖνος ἐτελεύτησε, τοῦ Κωνσταντίου ὄντος ἐν τοῖς ἀνατολικοῖς μέρεσι, Κωνσταντῖνος ἀπὸ Γαλλιῶν ἐρχόμενος συνήφθη Κώνσταντι καὶ ἀσπάζονται ἀλλήλους, οὐχ ὅτι ἐκεῖ συνήφθησαν, ἀλλὰ τῆς ὑπαντῆς αὐτῶν ἐκεῖσε ἀναστηλωθείσης:

Περὶ τοῦ ξηρολόφου|

Ὁ λεγόμενος ξηρόλοφος, καθὼς ὁ διακρινόμενος λέγει, 26v στήλην εἶχε τοῦ μικροῦ Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ κάτωθεν τοῦ κίονος. σεισμοῦ δὲ γενομένου πεπτωκέναι τὴν στήλην:

Περὶ τοῦ νεωρίου

Ὅτι τὸ νεώριον ὁ Κόνων ἐστοιχειώσατο· ἐν ᾧ καὶ ἀγοραὶ τῶν θαλασσίων ἐμπόρων πρῶτον ἦσαν, ἐπὶ Ἰουστινιανοῦ δὲ μετεποιήθησαν εἰς τὸν Ἰουλιανοῦ λιμένα:

Περὶ τοῦ Ζευξίππου

Ὁ Ζεύξιππος τὸ λουτρὸν ὑπὸ Σευήρου ἐκτίσθη, σὺν αὐτῷ δὲ καὶ τὸ ἱπποδρόμιον πρῶτον κτίσμα ἔλαβεν ἐν ὀλίγῳ:|

Περὶ τοῦ ἀγωγοῦ 27r

Ὁ ἀγωγὸς ὑπὸ Οὐάλεντος ἐκτίσθη:.

Περὶ τῆς κινστέρνης βασιλικῆς

Ἡ βασιλικὴ κινστέρνα ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου ἐκτίσθη, ἡ δὲ στήλη ἡ μεγάλη ἡ ἐκεῖσε καθημένη τοῦ μεγάλου Θεοδοσίου ἐστίν:

Περὶ στήλης τοῦ ἀρμαμέντου

Ἡ στήλη ἡ εἰς τὸ ἀρμαμέντον τοῦ Φωκᾶ ἐστι καὶ ἐν τῷ ἑβδόμῳ τῆς βασιλείας αὐτοῦ περὶ τὸ τέλος σπουδάζων ἀναγαγεῖν αὐτὴν ἐν τῷ κτιστῷ κίονι μετὰ τὸ ἀναγαγεῖν αὐτὴν

---

8 κωνστινος, σταν supra eadem manu post 19 ἦν 23 αυτῶι 28 ἐκεῖσε addidi

δεκαοκτὼ παρελθουσῶν ἡμερῶν κατηνέχθη τῆς βασιλείας. τότε δὲ ἦν Συμεὼν ὁ ὅσιος:

### Περὶ τῶν ἀπὸ Νικομηδείας

Ὅτι ἀπὸ Νικομηδείας πολλαὶ στῆλαι ἥκασιν· ὅθεν καὶ Διο|κλητιανοῦ ἐν τῷ ἱπποδρομίῳ σώζεται ἕως νῦν, ἐπίκουφος οὖσα, ἀναμέσον τοῦ καθίσματος: 27v

### Περὶ στήλης Μαξιμιανοῦ

Μαξιμιανοῦ στήλη ἐν τοῖς τῆς Χαλκῆς μέρεσιν ὑπάρχει βαρυτάτη πάνυ. ἔνθα καὶ τὸ γένος| ἅπαν Θεοδοσίου τοῦ μεγάλου:

### Περὶ τῶν Γοργόνων

Αἱ τέσσαρες Γόργονες ἐκ τῆς Ἐφέσου ἥκασιν ἀπὸ τοῦ τῆς Ἀρτέμιδος ναοῦ, αἳ κατὰ τὸν οἶκον τῆς Χαλκῆς φέρονται. ἔνθα καὶ σταυροῦ σημεῖον ἄνωθεν αὐτῶν:

### Περὶ Ἀρτέμιδος

Τῆς Ἀρτέμιδος ἡ στήλη ἐν τῷ ἱπποδρομίῳ ἵσταται· ἔνθα| δοκιμάζονται οἱ παλαίοντες: 28r

### Περὶ στηλῶν ἐν τῇ Χαλκῇ τοῦ παλατίου

Ἐν τῇ Χαλκῇ πύλῃ τοῦ παλατίου Ζήνωνος καὶ Ἀριάδνης ἐν κίοσι πεζαὶ στῆλαι, ἐλεγεῖα ἔχουσαι Σεκούνδου φιλοσόφου:

### Περὶ τῆς ἐν τῷ Ζευξίππῳ

Ἡ ἐν τῷ Ζευξίππῳ λουτρῷ ὑπάρχουσα στήλη ἐκ χρωμάτων τοῦ Φιλιππικοῦ ἐστι τοῦ πρᾳοτάτου:

### Περὶ τῶν ἵππων

Οἱ τέσσαρες κεχρυσωμένοι ἵπποι οἱ ἄνωθεν τοῦ ἱππικοῦ ἐκ τῆς Χίου ἥκασιν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ:

### Περὶ Περσέως

Ἐκ τοῦ Ἰκονίου Περσέως στῆλαι καὶ Ἀνδρομέδας θυγατρὸς| Βασιλίσκου ὑπαρχούσης, ὡς οἱ μῦθοί φασι, δίδοσθαι 28v θυσίαν τῷ ἐκεῖσε ἐμφωλεύοντι δράκοντι. οὕτως γὰρ ἦν ἐκ παλαιᾶς συνηθείας, δίδοσθαι παρθένον κόρην τῷ θηρίῳ· καθ' ἣν Ἀνδρομέδα δεθεῖσα ἔμελλε τῷ θηρίῳ βορὰ δίδοσθαι. ὁ γ' οὖν προειρημένος Περσεὺς ἐκεῖσε ἥκων πύθεται κλαιούσης

---

2 σιμεὼν 5 ἐπίκυφος 16 πλέοντες 26 περσεως 28 μύθοι 31 βορρᾶ

Digitized by Google

τῆς Ἀνδρομέδας, τί ἂν ὠδύρετο· ἡ δὲ τό συμβὰν ἐξηγήσατο. τοῦ δὲ καθίσαντος ἧκε τὸ θηρίον. αὐτὸς δὲ Γοργόνης κεφαλὴν ἐν πήρᾳ κατέχων ὀπισθοφανῶς στραφεὶς δείκνυσι τῷ θηρίῳ τὸ δηλητήριον· ὅπερ ἰδὼν ἐκεῖνο ἀπέψυξεν. ὅθεν καὶ ἐκλήθη Ἰκόνιον παρὰ Φιλοδώρου λογιστοῦ ἡ πόλις|διὰ τὸ τὸν Περσέα 29r δεῖξαι τὴν εἰκόνα ἐκεῖσε. ἦν δὲ τῇ πόλει ὄνομα τὸ ἀπὸ γενέσεως Δάνεια· ἔπειτα ἐκλήθη Θρηνῳδία, παρὰ δὲ Φιλοδώρου Ἰκόνιον. ἔνθα καὶ ἐτελειώθη ὁ αὐτὸς Περσεὺς σὺν τῇ Ἀνδρομέδᾳ ἐπάνω τῆς πύλης τῆς πόλεως. ἥκασιν οὖν αἱ στῆλαι ἐπὶ Κωνσταντίου μετὰ τὸ πληρωθῆναι τὴν Ἀντιοχέων ἐκκλησίαν: [ἐν τῷ Κωνσταντιανῷ λουτρῷ:]

Περὶ Ἀετίου

Ἐν τῇ καλουμένῃ Ἀετίου κινστέρνῃ, ἥτις ὑπὸ Ἀετίου πατρικίου ἐκτίσθη ἐπὶ Οὐάλεντος, στήλη ἵστατο τοῦ αὐτοῦ Ἀετίου:

Περὶ Ἄσπαρος

Ἡ λεγομένη Ἄσπαρος ὑπὸ Ἄσπαρος καὶ Ἀρδαβουρίου ἐκτίσθη ἐπὶ|τοῦ μεγάλου Λέοντος· καθ' ἣν ἀμφότεροι πλη- 29v ρωθείσης αὐτῆς ἀνῃρέθησαν:

Περὶ τοῦ Μοδίου

Ὅτι τὸ λεγόμενον Μόδιον ὡρολογεῖον ἦν· τὸ δὲ Μόδιον ἤγουν τὸ ἔξαμον τοῦ μοδίου ἦν εἰς τὰ χεῖρε κατασκευασθὲν ὑπὸ Οὐαλεντινιανοῦ· διὰ τὸ καὶ τὴν Λαμίαν εἶναι ἐγγύς:

Τέλος τῶν στηλῶν

* * *
* *

Ἀρχὴ τοῦ β̅ στοιχείου

Περὶ Βρεττανίας

Ὅτι πλείστων ἐθνῶν ὄντων ἐν Βρεττανίᾳ δύο μόνα ὠνόμασεν ὁ Δίων, Μαιάτας καὶ Καληδονίους. οἰκοῦσι δὲ οἱ μὲν Μαιάται πρὸς αὐτῷ τῷ διατειχίσματι, οἱ δὲ Καληδό|νιοι μετ' 30r ἐκείνους· ἑκάτεροι δὲ αὐτῶν νέμονται ὄρη ἄγρια καὶ ἄνυδρα

1 ὀδύρετο  εἰ pro ἡ  συμβᾶν  2 γοργὸν  3 πῆρα  τὸ θηρίον  7 ἐπλήσθη  11 quae uncis inclusi verba initium historiae de statua Anastasii  18 καθῆν  22 εἰς τὰ χεῖρε? codex: εἰς τὰ χέρια

Digitized by Google

καὶ πεδία ἔρημα καὶ ἑλώδη, μήτε τείχη μήτε πόλεις μήτε γεωργίας ἔχοντες, ἀλλ' ἐκ νομῆς, ἀκροδρύων καὶ θήρας ζῶντες· ἰχθύων γὰρ οὐκ ἀπογεύονται. διαιτῶνται δὲ ἐν σκηναῖς γυμνοὶ καὶ ἀνυπόδετοι, ταῖς γυναιξὶν ἐπικοίνοις χρώμενοι καὶ τὰ γεννώμενα πάντα κοινῶς ἐκτρέφοντες. δημοκρατίᾳ χρώμενοι καὶ ληστεύοντες, καὶ διὰ τοῦτο ἄρχοντας τοὺς θρασυτάτους αἱροῦνται. στρατεύονται δὲ ἐπὶ ἁρμάτων, ἵππους ἔχοντες μικροὺς καὶ ταχεῖς· καὶ πεζοί εἰσι τοῦ δραμεῖν ὀξύτατοι, | [30v] ἀσπίδα μόνην ἔχοντες ἀντὶ κράνους καὶ θώρακος καὶ κνημίδων· καὶ δόρυ φέρουσι βραχύ. ὑπομένουσι δὲ καὶ λιμὸν καὶ ψῦχος καὶ ταλαιπωρίαν ἅπασαν· καταδυόμενοι γὰρ εἰς τὰ ἕλη καρτεροῦσιν ἐπὶ πολλὰς ἡμέρας, τὴν κεφαλὴν μόνην ἔξω τοῦ ὕδατος ἔχοντες, καὶ ἐν ταῖς ὕλαις τῷ τε φλοιῷ καὶ ταῖς ῥίζαις διατρέφονται, καὶ σκευάζουσι βρῶμα, ἀφ' οὗ κυάμου τι μέγεθος ἐμφαγόντες οὔτε πεινῶσιν οὔτε διψῶσιν. ἔστι δὲ τὸ μῆκος τῆς νήσου μίλια α̅ι̅η̅ καὶ στάδια δ̅· τὸ δὲ πλάτος τὸ πλεῖστον μίλια τ̅λ̅α̅ καὶ στάδια ε̅. ἐν δὲ τῷ ἐσχάτῳ τῆς νήσου τις ἀπελθὼν τὴν παράλλαξιν | [31r] γινώσκει ἀκριβῶς τοῦ ἡλίου καὶ τὴν αὐξομείωσιν τῶν ἡμερῶν καὶ νυκτῶν ἔν τε θέρει καὶ χειμῶνι:

Περὶ Βεσβίου ὄρους Προκόπιος

Βέσβιον ὄρος ἐστὶν ἑβδομήκοντα σταδίοις ἀπέχον Νεαπόλεως· ὡς πρὸς βορρᾶν ἄνεμον, ἀπότομον δέ. καὶ τὰ μὲν κάτω ἀμφιλαφὲς κύκλῳ, τὰ δὲ ὕπερθεν κρημνῶδες καὶ ἄγριον· ἐν δὲ τῇ ὑπερβολῇ τοῦ ὄρους σπήλαιόν ἐστι κατὰ μέσον βαθύ, ὥστε εἰκάζειν αὐτὸ ἄχρι ἐς τὰ ἔσχατα τοῦ ὄρους διήκειν. καὶ πῦρ ἐνταῦθα ὁρᾶν πάρεστιν. ἐάν τις τολμήσῃ ὑπερκύψαι καὶ χρόνῳ μὲν τῷ ἄλλῳ, ἡ φλὸξ ἐφ' ἑαυτὴν στρέφεται, μηδὲν πᾶν ἐνοχλοῦσα τοῖς | [31v] ἀνθρώποις. ἐὰν δὲ μυκήσῃ, καὶ κόνιν ἀναπέμπει, καὶ ἐὰν βαδίζοντά τινα ἐν ὁδῷ καταλάβῃ, τοῦτον τὸν ἄνθρωπον οὐδεμιᾷ μηχανῇ βιώσεσθαί ἐστιν· ἀλλὰ καὶ οἰκίαις ἐμπίπτουσα ῥίπτει αὐτὰς τῷ πλήθει ἀχθομένας. ἐὰν δὲ ἄνεμος

---

6 δια  9 ἀντι  18 αὐξιμείωσιν  τῶν ἡμερων punctis supra positis deletum ante τῶν ἡμερῶν  21 ἑβδομίκοντα  22 βορᾶν  28 πανενοχλοῦσα  μυκήσηιται pro μυκήσῃ καὶ  30 οὐδὲ μία μηχανή

Digitized by Google

μέγας φυσήσῃ,' ἀναρριπίζει αὐτήν, ὥστε μὴ βλέπεσθαι αὐτὴν ὑπὸ ἀνθρώπων, καὶ ὅπου τύχοι, πίπτει. ὅθεν ποτέ φασιν αὐτὴν ἐν Βυζαντίῳ πεσοῦσαν ἐκπλῆξαι τοὺς ἐν αὐτῷ, ὥστε πανδημεὶ ἐξ ἐκείνου τοῦ χρόνου λιταῖς ἐνιαυσίοις ἐξιλάσκεσθαι τὸν θεὸν ἔγνωσαν. ἐγένετο δὲ καὶ πρὸ ἐτῶν ρ̄· ὕστερον δὲ καὶ πολλῷ ἔτι| θᾶσσον συμβῆναι. ὅταν δὲ γένηται ὁ μυκηθμός, εὐθὺ 32r λιπεῖν ἀνάγκη τὴν χώραν ἐκείνην. ὁ δὲ ἀὴρ λεπτότατός ἐστι καὶ πρὸς ὑγείαν ἱκανὸς ἐν τῷ ὄρει τούτῳ. καὶ ταύτῃ τῇ κόνει χρῶνται οἱ ἰατροὶ εἰς τοὺς φθισικούς, τοὺς χρόνῳ τῇ νόσῳ κατεχομένους. ἐπὶ δὲ Τίτου πῦρ ἐκ τοῦ ὄρους ἐξελθὸν δύο πόλεις ἔκαυσεν ἐν Καμπανίᾳ:

Περὶ Βριττίας νήσου

Βριττία νῆσος ἐπὶ τούτου μὲν τοῦ ὠκεανοῦ κεῖται, τῆς ἠόνος οὐ πολλῷ ἄπωθεν, ἀλλ' ὅσον ἀπὸ σταδίων σ̄ κατ' ἀντικρὺ τῶν τοῦ Ῥήνου ἐκβολῶν μάλιστα. Βρεττανίας δὲ καὶ Θούλης μεταξύ ἐστι. Βρεττανία|γὰρ πρὸς τὴν δύσιν κεῖται, 32v Θούλη δὲ πρὸς ἀνατολὴν καὶ βορέαν, Βριττία δὲ μέσον.




εἰς τὰ ὄπισθεν γὰρ τῆς Γαλλίας ἐστὶν ἡ Βριττία, ἃ δὴ πρὸς τὸν ὠκεανὸν τετραμμένα, Ἰσπανίας δηλονότι καὶ Βρεττανίας πρὸς βορρᾶν ἄνεμον. Θούλη δὲ εἰς τὰ ἀρκτῷα μέρη τοῦ ὠκεανοῦ κεῖται. Βριττίαν τοίνυν τὴν νῆσον ἔθνη τρία πολυάνθρωπα ἔχουσιν, ἑκάστῳ δὲ βασιλεὺς ὑφέστηκεν. ὀνομάζονται δὲ τὰ ἔθνη Ἄγγιλοι, Φρίσσωνες καὶ Βρίττωνες. τοσοῦτον δέ εἰσιν ὥστε κατὰ χρόνον σὺν γυναιξὶ καὶ παισὶ πρὸς τοὺς Φράγγους πολλοὺς ἀπέρ|χεσθαι ἀποικίας χάριν. πλησιώτεροι δέ εἰσι 33r τοῖς Φράγγοις Οὐαρνοι ἤπερ Βρίττιοι, ὅτι οἱ μὲν Βρίττιοι οἰκοῦσι νῆσον τὴν Ἰουβερνίαν, Οὐαρνοι δὲ τῷ Ῥήνῳ μόνῳ διορίζονται τῶν Φράγγων, οὓς οἱ ἀρχαῖοι Γερμανοὺς ὀνομάζουσι. τοσοῦτον δὲ μέλλει αὐτοῖς τῆς σωφροσύνης ὥστε εἰ καὶ μόνον τις μνηστευσάμενος γυναῖκα ἐάσει αὐτὴν ἀντὶ πορνείας λογιζομένη τὴν μνηστείαν οὐ παύσηται, ἕως αὐτὸν τιμωρήσηται.

---

6 ὅτ'ἂν 8 ἱκανῶς 10 ἐξελθών 13 τοῦ addidi 20 δῆλονὅτι
21 βορᾶν 29 γερμανους 31 ἀντι

Βρίττιοι τοίνυν ἵππον οὐδὲ ἔχουσιν οὐδὲ γνωρίζουσιν, ἀλλὰ
πεζοὶ μάχονται, ἀλλ' οὐδὲ Οὔαρνοι. ἐν τῇ Βριττίᾳ τοίνυν
οἱ παλαιοὶ ἄνθρωποι ἐδείμαντο τεῖχος, δίχα τέμνον|αὐτῆς 33v
πολλὴν μοῖραν. τούτου τοῦ τείχους ὁ ἀὴρ καὶ ἡ γῆ καὶ τὰ
ἄλλα πάντα οὐχ ὁμοίως ἐφ' ἑκάτερά ἐστιν. ἀλλὰ τὰ μὲν πρὸς
ἀνατολὴν εὐεξία τε ἀέρων ἐστὶ συμμεταβαλλομένη ταῖς ὥραις,
καὶ ἄνθρωποι πολλοὶ οἰκοῦσι κατὰ ταύτην βιοτεύοντες ἴσα τοῖς
ἄλλοις ἀνθρώποις· καὶ τὰ δένδρα καρποῖς ὡραίοις βρίθονται
καὶ τὰ λήια. πρὸς τὴν δύσιν δὲ τὸ ἐναντίον, ὥστε οὐδὲ ἡμιώ-
ριόν ἐστιν ἀνθρώπῳ ἐκεῖσε βιῶναι. ἔχεις δὲ καὶ ὄφεις καὶ
ἄλλων θηρίων παντοδαπὰ γένη ὑπάρχουσιν. ἀλλὰ καὶ ἄνθρω-
πος, εἰ ἀμείψει τὸ τεῖχος ὑπερβάς, εὐθυωρὸν ἀποθνήσκει, τὸ
λοιμῶδες|τοῦ ἀέρος μὴ φέρων. καὶ ἐκ τῶν ἄλλου μέρους, λέγω 34r
δὴ τοῦ δυτικοῦ, εἰ θηρίον πρὸς τὸν ἕτερον χῶρον ἀπέλθοι εἰς
τὸν εὔκρατον, παρ' αὐτὰ ἀποθνήσκει. ἐνταῦθα δέ μοι γενο-
μένῳ τῆς ἱστορίας ἐπάναγκές ἐστι λόγου τινὸς μυθολογίᾳ ἐμ-
φερεστάτου ἐπιμνησθῆναι, ὅς δή μοι οὔτε πιστὸς τὸ παράπαν
ἔδοξεν εἶναι, καίπερ ἀεὶ πρὸς ἀνδρῶν ἐκφερόμενος ἀναρίθμων,
οἳ δὴ τῶν μὲν πρασσομένων αὐτουργοί, τῶν δὲ λόγων αὐτήκοοι
ἰσχυρίζονται γεγονέναι, οὔτε παριτέος παντάπασιν, ὡς μὴ τά
γε ἀμφὶ Βριττίᾳ τῇ νήσῳ ἀναγραφόμενος ἀγνοίας τινὸς τῶν
τῇδε συμβαινόντων|διηνεγκὲς ἀπενέγκωμαι δόξαν. λέγουσιν 34v
οὖν τὰς τῶν ἀποβιούντων ἀνθρώπων ψυχὰς ἐς τοῦτο ἀεὶ
διακομίζεσθαι τὸ χωρίον· ὅντινα δὲ τρόπον, αὐτίκα
δηλώσω, σπουδαιότατα μὲν ἀπαγγελλόντων ἀκηκοὼς πολ-
λάκις τῶν τῇδε ἀνθρώπων, ἐς ὀνείρων δή τινα δύναμιν
ἀποκεκρίσθαι νενομικὼς τὰ θρυλλούμενα. παρὰ τὴν ἀκτὴν
τοῦ κατὰ τὴν Βριττίαν ὠκεανοῦ νῆσον κώμας παμπληθεῖς
συμβαίνει εἶναι. οἰκοῦσι δὲ αὐτὰς ἄνθρωποι ἰχθυοθῆραι καὶ
γεωργοὶ καὶ ἔμποροι, τὰ μὲν ἄλλα Φράγγων κατήκοοι, φόρον
δὲ μὴ τελοῦντες διά τινα ὑπουργίαν, ὡς λέγουσιν· ἔστι δὲ αὕτη.
λέγουσιν ἐκ περι|τροπῆς ἐπικεῖσθαι τὰς τῶν ψυχῶν παραπομ- 35r
πὰς αὐτοῖς. ὅσοις οὖν τῇ ἐπιγενησομένῃ νυκτὶ ἐς τὸ ἐπιτή-

21 ἀμρι  βριττανία  31 ὑποργίαν  33 ἐπὶ γεν.

Digitized by Google

δευμα τοῦτο τῇ τῆς ὑπουργίας διαδοχῇ ἰτέον ἐστίν, οὗτοι
ἐπειδὰν συσκοτάζῃ, εἰς τὰς οἰκίας αὐτῶν ἀναχωροῦντες κα-
θεύδουσι, προσδεχόμενοι τὸν συναγωγέα τοῦ πράγματος. τῇ
νυκτὶ δὲ τῶν θυρῶν αὐτῶν ἀρασσομένων αἰσθάνονται, φωνῆς
δέ τινος ἀκούουσιν ἐπὶ τὸ ἔργον αὐτοὺς συγκαλούσης. αὐτοὶ
δὲ τῶν στρωμνῶν αὐτῶν ἀνιστάμενοι ἐπὶ τὸν αἰγιαλὸν βαδί-
ζουσιν, οὐκ εἰδότες ποία ἀνάγκη αὐτοὺς ἐς τοῦτο ἀνάγει, ὅμως
ἀναγκαζόμενοι. ἐνταῦθα ἀκάτους παρεσκευ|ασμένας ὁρῶσι 35v
κενὰς ἀνθρώπων, οὐ τὰς ἰδίας, ἀλλ' ἑτέρας τινάς, ἐν αἷς εἰσελ-
θόντες τῶν κωπῶν ἅπτονται. καὶ αἰσθάνονται τῶν πλοίων
βαρυνομένων ἐκ πλήθους ἐπιβατῶν, μέχρι δὲ τῶν ἄκρων τῶν
σανίδων βεβαπτισμένα βλέπουσι τὰ πλοῖα, ἀποδεουσῶν τοῦ
ὕδατος ὅσον δάκτυλον ἕνα, οὐδένα δὲ ὁρῶσιν· μίαν δὲ ὥραν
ἐρέσσοντες εἰς τὴν Βριττίαν καταίρουσι. καίτοι ἡνίκα ταῖς
ἰδίαις ἀκάτοις πλέουσιν, οὐχ ἱστίοις χρώμενοι, ἀλλὰ ταῖς κώπαις
εἰς νύκτα καὶ ἡμέραν μόλις διαπορθμεύονται. καταπλεύσαν-
τες δὲ τῇ νήσῳ ἀποφορτιζόμενοι ἀπαλλάσσονται, ἐν τῷ ὕδατι
καταδυομένου|οὐδενὸς ἄλλου, πλὴν τῆς τρόπιδος. καὶ αὐτοὶ 36r
μὲν οὐδένα ἀνθρώπων ὁρῶσιν οὔτε συμπλέοντα, οὔτε τῆς νηὸς
ἀπαλλασσόμενον, φωνῆς δὲ ἀκούουσι τοῖς ὑποδεχομένοις ἀπαγ-
γέλλουσαν πρὸς ὄνομα συμπεπλευκότων αὐτοῖς ἕκαστον, τά τε
ἀξιώματα ἐπιλεγούσης οἷς πρώην ἐχρῶντο καὶ πατρόθεν
αὐτοὺς ἀνακαλούσης. ἢν δὲ καὶ γυναῖκες συμπλεύσωσι, τῶν
ἀνδρῶν ἀποστοματίζουσι τὰ ὀνόματα οἷς συνεβίωσαν:

## Περὶ οἰωνοσκοπίας τῶν Οὐάρνων

Μνησθήσομαι δὲ καὶ περὶ οἰωνοσκοπίας· Οὐάρνοι ἔθνος
εἰσὶ Βρεττανικόν, καὶ ἦν ἐν|αὐτοῖς βασιλεὺς Ἑρμεγίσκλος ἔχων 36v
υἱὸν ὀνόματι Ῥάγιδιν. τελευτησάσης οὖν τῆς γυναικὸς τοῦ
Ἑρμεγίσκλου, ἐμνηστεύσατο τὴν ἀδελφὴν Θευδιβέρτου βασι-
λέως τῶν Φράγγων. οὗτος οὖν ὁ Ἑρμεγίσκλος συνιππεύων
τοῖς ἐλλογιμωτάτοις τῶν Οὐάρνων ὄρνιν τινὰ καθήμενον ἐπὶ
δένδρου εἶδε καὶ πολλὰ κρώζοντα. εἶπεν οὖν εὐθὺς τοῖς συμ-
παροῦσιν, ὡς μετὰ τεσσαράκοντα ἡμέρας τεθνήξεται. καὶ

---

1 ἰστέον 2 ἐπειδ' ἀν 12 ἀπὸ δὲ οὐσῶν 30 σὺν ἱππ. 32 εἶδεν

Digitized by Google

παρηγγύησεν αὐτῷ τὴν αὐτοῦ μητρυιὰν ποιήσασθαι μνηστὴν τοῦ Θευδιβέρτου τὴν ἀδελφήν, χαίρειν ἐάσας τὴν αὐτῷ ἐγγεγυημένην μνηστὴν ἐκ τῶν Βριττίων ὑπάρχουσαν. καὶ|κατὰ τὸ 37r μάντευμα τῇ τεσσαρακοστῇ τετελευτήκει ἡμέρᾳ:

Περὶ Κάλχαντος τοῦ παρ' Ὁμήρῳ

Μνησθήσομαι δὲ καὶ ἑτέρου μαντεύματος τοῦ παρ' Ὁμήρῳ ἐμφερομένου· στρατοπεδευσάμενοι γὰρ κατὰ τῶν Τρώων πάντοθεν ἐπισυναχθέντες ἔκ τε Ἑλλάδος καὶ Πελοποννήσου Κεφαλληνίας τε καὶ τῶν πέραν, οἱονεὶ τῆς Κρήτης, καὶ ἐκ πολλῶν καὶ διαφόρων χωρῶν τε καὶ πόλεων οἱ Ἕλληνες τὴν ἐπίσκεψιν τῆς στρατολογίας ἐν Αὐλίδι τῆς Βοιωτίας ἐποιήσαντο, ὡς ἂν μάθοιεν ἑκάστου στρατηγοῦ τὴν ποσότητα τῶν πλοίων καὶ τοῦ στρατεύματος. ποιουμένων τοίνυν τὴν ἐπιτήρησιν, ὡς εἴρηται, |ἐν Αὐλίδι τῆς Βοιωτίας, ἔδοξεν αὐτοῖς θυσίαν 37v τε ποιῆσαι καὶ μαθεῖν δι' αὐτῆς τὴν ἔκβασιν τοῦ πολέμου. ἦν τοίνυν κρήνη καὶ παρὰ τὴν κρήνην πλάτανος καὶ ἐν τῇ ἄκρᾳ αὐτῆς κατὰ κορυφὴν νοσσιὰ στρουθοῦ, ὑπὸ τοῖς φύλλοις ἔχουσα ἐσκεπασμένα νοσσία ὀκτώ. γινομένης οὖν τῆς θυσίας ἐξῆλθε δράκων ἐκ τοῦ ὕδατος διὰ τοῦ βωμοῦ καὶ ἀνελθὼν εἰς τὴν νοσσιὰν ἔφαγε τὰ ὀκτὼ νοσσία, τῆς μητρὸς περιπετομένης καὶ ὀδυνηρῶς θρηνούσης. καὶ πρὸς αὐτῆς περιστραφεὶς ἐδράξατο καὶ αὐτῆς. καὶ μετὰ ταῦτα καὶ αὐτὸς ἀπελιθώθη· ὅπερ ὡς θαῦμα βλέπον|τες ἐξεπλήσσοντο οἱ Ἕλληνες, ἠρεμαῖοι ἱστά- 38r μενοι, τί ἂν καὶ σημαίνοι τὸ δρώμενον. Κάλχας δὲ ὁ μάντις συνὼν αὐτοῖς τῇ πείρᾳ γεγυμνασμένος τῶν τοιούτων, τάχα δὲ καὶ τέχνῃ τινὶ παρατηρήσεις μεμαθηκώς, τοῖς παροῦσι καὶ περὶ τοῦ σημείου ἀπορουμένοις τοῦ γεγονότος τὴν δήλωσιν ὑπενέφηνεν, εἰπὼν αὐτοῖς, ὡς ἐννέα ἔτη πολεμήσουσι τοῖς Τρωσὶ καὶ τῷ δεκάτῳ αὐτοὺς παραλήψονται. καὶ ὅτι οὐκ ἀπρεπῶς ἐστοχάσατο οὐδὲ ἁπλῶς ἀπεκρίνατο, δεδήλωκεν ὁ Κάλχας, καὶ ἐξ αὐτοῦ ἄλλοι μεταγενέστεροι τὴν ἀφορμὴν εἰληφότες καὶ τὸ ὅλον τοῦ φανέντος σημείου|ἑρμηνεύσαντες. 38v καὶ γίνονται μὲν κατὰ τύχην τινά, συνδραμεῖν δὲ ὁμοῦ πάντα,

17 κατα νοσσία 20 νοσσιαν περιπετωμένης 21 ὀδυνηρὸς 22 μετα

ὡς ἔτυχεν, οὐ δυνατόν. τὸ τοίνυν φαγεῖν δράκοντα στρουθία
καθ' ἑκάστην γίνεται· τὸ δὲ ἐν καιρῷ ἐπισήμῳ καὶ πέρα φύ-
σεως καὶ ἔξω τοῦ καθήκοντος οὐ μάτην πράττονται. ἐξ ὧν
καὶ ὁ Κάλχας ἔλαβε τὴν ἀφορμὴν τῆς προρρήσεως καὶ οὐκ
ἀπέτυχεν. ἐπεὶ γὰρ θυσιασάντων αὐτῶν τοῦτο γέγονεν, ἔγνω
μὴ ἄνευ θεοῦ φανῆναι τὸ τέρας. ἔλαβε τοίνυν τὸν τόπον ἱερὸν
καὶ τὸν χρόνον ὡσαύτως ἐκ τῆς θυσίας. τὸν δράκοντα τοὺς
Ἕλληνας εἶναι, ἐπειδὴ διὰ τοῦ ὕδατος ἀνέβη ὁ δράκων ἐπὶ τὴν
πλάτανον, ὡς ταῖς ναυσὶν οἱ Ἕλληνες διὰ τῆς θα|λάσσης· ἀνέβη 39r
δέ, ἐπειδὴ καὶ ἡ Ἴλιος εἰς ὑψηλὸν ἵστατο τόπον. θαῦμα δὲ ἦν
παράδοξον καὶ οὐ κατὰ φύσιν, ἐπειδὴ ἡ στρουθὸς ἑπτὰ τίκ-
τουσα τὸ ἓν οὔριον ἀποδείκνυσιν· ἐνταῦθα δὲ καὶ ὀκτὼ καὶ
πάντα σῶα γεγέννηντο. εἶτα ἡ μήτηρ ἦν ἐνάτη. ἐξ ὧν ὁ χρόνος
αὐτῷ ὑπεσημάνθη, ὡς καταναλισκομένου τοῦ ἐνάτου χρόνου
ἡ καλιὰ κενωθήσεται. καλιὰ δὲ τῶν ἀνθρώπων πόλις ᾠκισ-
μένη, ὥσπερ τῶν νεοσσῶν ὁ φωλεός. πόθεν δὲ ἔγνω ἔτη ση-
μαίνειν καὶ οὐχ ἡμέρας ἢ μῆνας; ἐντεῦθεν· τρεῖς γάρ εἰσι
χρόνοι δι' ὧν ὁ πᾶς αἰὼν ἀριθμεῖται· ἡμέραι, μήν, ἐνιαυτός.
καὶ ἡ μὲν ἡμέρα οὐρανοῦ|ἐστιν ἀποκατάστασις· ὁ δὲ μὴν σε- 39v
λήνης· ὁ δὲ ἐνιαυτὸς ἡλίου· εἰ μὲν ὑπῆρχον ἐν τῷ στελέχει,
εἶπεν ἂν ἡμέρας· εἰ δὲ ἐν μέσῳ, μῆνας· ἐπεὶ δὲ πρὸς τῷ τέλει,
ἐνιαυτούς. ἐφάνη δὲ καὶ ἀσθένεια τῶν Τρώων· ὅτι τοῖς πετά-
λοις ἦσαν οἱ νεοσσοί. ὅπερ ἐστὶ καὶ αὐτὸ παρὰ τὴν φύσιν, ὅτι
ὑπὸ τοῖς φύλλοις ἦσαν. ἔδειξεν δὲ καὶ τὴν πανοπλίαν τῶν Τρώων
ἀδύνατον διὰ τὸ εὐμάραντον τῶν φύλλων καὶ οὐτιδανόν. ἡ
ἀπολίθωσις τοῦ δράκοντος σημαίνει, ὡς μετὰ τὰ ἐννέα ἔτη
ἀκίνητος διαμενεῖ ἡ μάχη. προεσήμαινε δὲ ὅτι οὐκ ἀπ' εὐθείας
παραληφθήσεται ἡ πόλις ὑπὸ τῶν Ἑλλήνων, ἀλλ' ἀναχωρή-
σαντες καὶ πάλιν στραφέντες|ὑπὸ τῶν ἀφάντων τοὺς πυρσούς, 40r
λέγω δὴ τῶν ἐν τῷ δουρείῳ ἵππῳ, λήψονται αὐτήν. ἡ περιεί-
λησις τοῦ δράκοντος εἰπόντος τοῦ ποιητοῦ· τὴν δ' ἐλελιξά-
μενος πτέρυγος λάβεν ἀμφιαχυῖαν· πολὺς γὰρ θρῆνος καὶ
ὀδυρμὸς γέγονεν ἀνδρῶν ἀναιρουμένων καὶ γυναικῶν καὶ παί-

1 καθεκάστην 5 αὐτὸν 7 ὡς αὔτως 27 πρὸ ἐσήμαινεν ἀπευθείας



Digitized by Google

δων αἰχμαλώτων ἀπαγομένων καὶ ὅσα πέφυκε γίνεσθαι ἐν
παραλήψει πόλεως. πολλὰ κακοπαθησάντων τῶν παρειλη-
φότων αὐτὴν καὶ θυμοῦ ἔμπλεων ὄντων:

Περὶ σημείου καὶ τέρατος

Σημεῖον μέν ἐστι τὸ παρὰ τύπον γινόμενον· ὡς μέλισσαι
ἢ πτηνοὶ ἢ μύρμηκες ἐν οἴκῳ, τέρας δὲ τὸ παρὰ φύσιν·|τοῦτο 40v
οὖν ἄμφω εἶχεν· σημεῖον μὲν τὸ ἐπ᾽ ἄκρῳ τῶν φύλλων εἶναι
τὴν νοσσιάν· τέρας δὲ τὸ ὀκτὼ τετοκέναι· ἑπτὰ γὰρ τίκτει,
ὧν τὸ ἓν οὔριον ἐᾷ:

Περὶ χοίρων

Μνησθήσομαι δὲ ἔτι τοῦ ἐν τῷ πέμπτῳ λόγῳ Προκοπίου
μαντεύματός τινος μετὰ καὶ κρυφίας πράξεως, ἣν μόνος ἴσως
ἠπίστατο ὁ ἐργασάμενος, εἴτε ἐκ δαιμόνων ἢ καὶ τέχνης τινός.
τοῦ γὰρ Βελισαρίου παρακαθεζομένου τῇ Νεαπόλει ἀπέστει-
λαν οἱ Νεαπολῖται πρὸς Θευδᾶτον βασιλέα Γότθων ὄντα εἰς
Ῥώμην αἰτοῦντες παρ᾽ αὐτῷ βοήθειαν. ὁ δὲ προσκαλεσάμενος
Ἰουδαῖόν τινα, δόξαν ἐπὶ μαντείαις|ἔχοντα, ἠρώτα περὶ τῆς 41r
ἀποβάσεως τοῦ πολέμου. ὁ δὲ παρηγγύησεν αὐτῷ χοίρων δε-
κάδας τρεῖς καθείρξαντι ἐν οἰκίσκοις τρισὶ καὶ ὄνομα ποιησα-
μένῳ δεκάδι ἑκάστῃ, Γότθων τε καὶ Ῥωμαίων καὶ τοῦ βασι-
λέως στρατοῦ, ἡμέρας ῥητὰς ἡσυχῇ μένειν. Θευδᾶτος δὲ
οὕτως ἐποίει. καὶ ἐπειδὴ παρῆν ἡ κυρία, ἐν τοῖς οἰκίσκοις
ἄμφω γενόμενοι ἐθεῶντο τοὺς χοίρους, εὗρόν τε αὐτῶν, οἷς
μὲν τὸ Γότθων ἐπῆν ὄνομα, δύο ζῶντας καὶ ὀκτὼ τεθνηκότας·
οἷς δὲ τὸ τοῦ βασιλέως ἐπῆν ὄνομα, πάντες ἔζων ὀλίγων τεθ-
νηκότων· ὅσοι μέντοι Ῥωμαῖοι ἐκλήθησαν, τούτοις συνέβη
πᾶσι τὰς τρίχας ἀπορρυῆναι,|τοὺς ἡμίσεις δὲ ζῶντας καὶ 41v
τοὺς ἡμίσεις τεθνηκότας. συνέβη οὖν τοῖς μὲν Ῥωμαίοις ἀπο-
λέσασι τὰ χρήματα· ὃ ἐδήλου τὸ ἀπορρυῆναι τὰς τρίχας τοὺς
ἡμίσεις τελευτῆσαι· τοῖς δὲ Γότθοις τοῖς πλείοσι θανεῖν, ὀλί-
γοις δὲ περιβιῶναι· σώζεσθαι δὲ τὸ βασιλικὸν στράτευμα, ὀλί-
γων τινῶν τετελευτηκότων καὶ τὸ κράτος τοῦ πολέμου εἰς
αὐτοὺς περιεῖναι:

---

6 πτινοί   8 νοσσίαν   17 ἤρωτα   20 δεκάτηι   31 ὀλίγοι

### Τοῦ αὐτοῦ λόγου περὶ παρατηρήσεως εἰκόνος

Ὃ καὶ αὐτὸ εἶδός ἐστι μαντείας παρὰ τοῖς πεπλανημένοις καὶ παρατηρουμένοις τὰ πάντα. Θευδερίχου τοῦ Γότθων ἄρχοντος εἰκὼν ἐν τῇ ἀγορᾷ ἐτύγχανεν|οὖσα, ἐκ ψηφίδων τινῶν 42r συγκειμένη. ταύτης τῆς εἰκόνος ποτὲ τὴν κεφαλὴν διαρρυῆναι ζῶντος Θευδερίχου συμβέβηκε, τῆς τῶν ψηφίδων ἐπιβολῆς ἐκ τοῦ αὐτομάτου συνταραχθείσης, καὶ Θευδερίχῳ συνηνέχθη τελευτῆσαι τὸν βίον εὐθέως. μετὰ δὲ ἔτη ὀκτὼ καὶ ἡ γαστὴρ διερρύη ἐξαίφνης καὶ Ἀταλάριχος ὁ θυγατριδοῦς Θευδερίχου ἐτελεύτησεν. ὀλίγου δὲ παρελθόντος χρόνου πίπτουσιν αἱ περὶ τὰ αἰδοῖα ψηφῖδες καὶ Ἀμαλασοῦνθα ἡ θυγάτηρ Θευδερίχου ἐξ ἀνθρώπων ἠφάνιστο. εἶτα καὶ τῶν ποδῶν ῥυέντων ὁ λαὸς αὐτοῦ διεφθάρη:|

### Περὶ Γαίου Ἰουλίου Καίσαρος 42v

Ὅμοιον καὶ ἐπὶ Γαίου Ἰουλίου Καίσαρος· ἐν ἡμέρᾳ γάρ, ᾗ καὶ ἐτελεύτησεν, εἰκὼν αὐτοῦ τοῦ Καίσαρος ἐφεστῶσα τῷ προθύρῳ αὐτομάτως κατέπεσεν· καὶ εἰσιόντος αὐτοῦ εἰς τὸ βουλευτήριον Βροῦτος καὶ Κάσσιος ξίφεσιν αὐτὸν διεχρήσαντο:

### Περὶ τῆς γαμετῆς αὐτοῦ

Ἡ δὲ γαμετὴ αὐτοῦ ἐν τῇ νυκτί, μεθ' ἣν ἐσφάγη, ἔδοξεν ὁρᾶν τὴν οἰκίαν Καίσαρος πᾶσαν συμπεπτωκυῖαν:

Ταῦτα δὲ ὡς πλεῖστα καὶ ἄπειρα ὄντα παρά τε Ἕλλησιν Ἑβραίοις τε καὶ τοῖς καθ' ἡμᾶς ἐάσω, ὀλίγων τινῶν ἐπιμνησθείς·

Ὁ γὰρ Καῖσαρ Γάιος Ἰούλιος νέος ὢν ἔδοξεν ἐν τοῖς ὕπνοις|συνουσιάζειν τῇ οἰκείᾳ μητρί· ὅπερ τοῖς μάντεσι κοινωσά- 43r μενος ἔγνω παρ' αὐτῶν, ὡς τῶν τῆς πατρίδος πάντων ἀπολαύσειν.

ᾱ Ἡ δὲ μήτηρ τοῦ Αὐγούστου πρὸ μιᾶς ἡμέρας τοῦ τεκεῖν αὐτὴν ἐθεάσατο ἐνύπνιον ὡς τὰ σπλάγχνα αὐτῆς ἐξαρπαγέντα εἰς τὸν οὐρανὸν ἀνεφέρετο.

β̄ καὶ ἐν τῇ αὐτῇ νυκτί, ἐν ᾗ ἐτέχθη Ὀκτάβιος ὁ πατὴρ αὐτοῦ ἐνόμισεν ἐκ τῶν κόλπων τῆς γυναικὸς αὐτοῦ τὸν ἥλιον ἀνατέλλειν.

---

11 ψηφίδες ἀμαλασούνθα 18 κάσιος 27 ᾱ β̄ cet. in marg. 29 ἐξ ἁρπ.

Digitized by Google

γ̄ καὶ Νιγίδιός τις Φίγουλος βουλευτὴς ἀστρολόγος ἠρώτησεν Ὀκτάβιον τὸν πατέρα Αὐγούστου· ἀνθ' ὅτου βραδὺ προῆλθεν· ὁ δὲ ἀπεκρίνατο υἱὸν αὐτῷ τετέχθαι· κἀκεῖνος ἀνεβόησεν· ὢ τί ἐποίησας·|δεσπότην ἡμῖν ἐγέννησας. ὁ δὲ 43v
πιστεύσας καὶ ταραχθεὶς ἠβουλήθη ἀνελεῖν αὐτόν· Νιγίδιος δέ φησι πρὸς αὐτόν· οὐκ ἰσχύεις· οὐ γὰρ συγκεχώρησαι τοῦτο ποιεῖν.

δ̄ Πάλιν δὲ τρεφομένου αὐτοῦ ἐν ἀγρῷ καταπτὰς ἀετὸς ἐκ τῶν χειρῶν αὐτοῦ τὸν ἄρτον ἁρπάσας καὶ ἐπανελθὼν πάλιν εἰς τὰς χεῖρας αὐτοῦ αὐτὸν ἐναπέθετο.

ε̄ Πάλιν ἐν παισὶν αὐτοῦ τελοῦντος ὄναρ ἐθεάσατο ὁ Κικέρων αὐτὸν Ὀκτάβιον χρυσῇ ἁλύσει δεδεμένον καὶ μάστιγα κρατοῦντα ἐκ τοῦ οὐρανοῦ χαλασθῆναι εἰς τὸ Καπιτώλιον.

ς̄ Καὶ πάλιν πλῆθος Ἰουδαίων χορεῦον εἶδεν ὁ αὐτὸς Κικέρων καὶ ἐν τῷ μέσῳ τὸν Δία στέφανον|περιτεθεικότα τῷ 44r
Αὐγούστῳ.

Εἴπωμεν δὲ καὶ ὡς ἥδυσμά τι ἕτερον τοῦ Δίωνος.

Τοῦ γὰρ Βρούτου μαχομένου Αὐγούστῳ Καίσαρι καὶ Ἀντωνίῳ δύο ἀετοὶ ἐπέστησαν, εἷς μὲν ἐκ τοῦ μέρους Καίσαρος καὶ Ἀντωνίου· ἕτερος δὲ ἐκ τοῦ μέρους Βρούτου· καὶ πολλὰ μαχεσάμενος ὁ ἐκ τοῦ μέρους τοῦ Βρούτου ἔφυγεν· ὅπερ πεπονθότος καὶ τοῦ στρατεύματος αὐτοῦ καὐτὸς ἔφυγε καὶ παρεκάλεσεν ἕνα τῶν συνόντων αὐτῷ ἀποκτεῖναι αὐτὸν ἐπιδοὺς τὸ οἰκεῖον ξίφος καὶ ἐπειπὼν ἐκεῖνα τὰ Ἡράκλεια ῥήματα· Ὦ τλῆμων ἀρετή· λόγος ἄρα ἦσθα ἄλλως· ἐγὼ δέ σε ὡς ἔργον
ἤσκουν· σὺ δὲ ἐδού|λευες τύχῃ· καὶ οὕτως ἀπώλετο: 44v

### Περὶ Θρασύλλου διδασκάλου Τιβερείου τοῦ Αὐγούστου

Τοσοῦτον ἦν ἠσκημένος τὴν ἀστρονομίαν ὁ Θράσυλλος, ὅτι ἀγανακτήσαντος κατ' αὐτοῦ ποτε τοῦ Τιβερείου καὶ βουλομένου κατωθῆσαι αὐτὸν τοῦ τείχους ἐν Ῥόδῳ· ἐκεῖ γὰρ διέτριβεν· ἐστύγνασεν ὁ Θράσυλλος καὶ γεγονὼς σύννους ἠρωτήθη

1 φίβουλος 2 ἀνθότου 10 χειρας ἐν ἀπ. 13 καπητώλιον 14 καὶ ς̄ 24 οἰκειον ἐπ' εἰπ.

ὑπὸ Τιβερείου τὴν αἰτίαν. ὁ δὲ ἀπεκρίνατο· ὡς αἰσθάνομαι μέγιστον κλιμακτῆρα ἐγγύς μου ὄντα· θαυμάσας οὖν αὐτὸν ὁ Τιβέρειος εἴασεν αὐτόν:

Ἄλλο β̄

Μακρόθεν ὄντος τῆς Ῥώμης τοῦ Τιβερείου καὶ παρὰ τὸν αἰγιαλὸν καθημένου ναῦς|πρὸς αὐτὸν ἤρχετο· καὶ ἤρετο 45r Θράσυλλον τὸν φόρτον τῆς νεώς· ὁ δὲ ἔφη· Αὔγουστον εἶναι καὶ παρὰ τῆς μητρὸς αὐτοῦ κομίσειν γράμματα· ἥκειν αὐτὸν εἰς Ῥώμην κελεύοντα:

Περὶ Τιβερείου

Ὅτι τοσοῦτον ἦν ὠφεληθεὶς ὑπὸ Θρασύλλου εἰς τὰ περὶ ἀστέρων, ὥστε ὑπαντήσαντά ποτε τῷ Γάλβᾳ εἰπεῖν· ὡς καὶ σύ ποτε τῆς ἡγεμονίας γεύσῃ:

Ἄλλο β̄

Διαπληκτιζομένων ποτὲ Γαίου τοῦ υἱοῦ Γερμανικοῦ καὶ Τιβερείου τοῦ υἱοῦ Τιβερείου ἔφη πρὸς Γάιον ὁ Τιβέρειος· τί σπουδάζεις; καὶ σὺ τοῦτον φονεύσεις καὶ ἄλλος σέ:

Ἄλλο γ̄|

Φοίνικος φανέντος ἐν Αἰγύπτῳ Θράσυλλος ἔφη τὸν Τι- 45v βερείου δηλοῦν θάνατον. ἀλλ' ὑπέκρυπτεν αὐτὸ ἐξ αὐτοῦ· καὶ ἄλλα δέκα ἔτη ζῆν αὐτῷ ἔλεγεν, ὡς ἂν ἐλπίζων μετὰ ταῦτα πρᾶξαι ὃ βούλεται ῥᾳθυμότερος γένηται περὶ τοὺς φόνους καὶ τὰς τῶν χρημάτων διαρπαγάς:

Περὶ Νέρωνος

Ἐν τῷ τέλει τῆς βασιλείας αὐτοῦ ὀργισθεὶς τοῖς γόησι καὶ ἀστρολόγοις ἐποίησε πρόγραμμα καὶ ἀνατέθεικεν αὐτὸ ἐμφαῖνον ἐντός τινος ῥητῆς ἡμέρας ἐξέρχεσθαι αὐτοὺς ἐκ πάσης τῆς Ἰταλίας· οἱ δὲ νυκτὸς καὶ αὐτοὶ ἀνατεθείκασι προσαγγέλλοντες ἀπαλλαγήσεσθαι|αὐτὸν τοῦ βίου ἐντὸς τῆς ἡμέρας· ἐν 46r ᾗ καὶ ἐτελεύτησεν. οὕτως ἀκριβῶς τὸ γενησόμενον προέγνωσαν:

Καὶ τοιαῦτά τινα λεγόντων τῶν παλαιῶν ἐγὼ οὐ πείθομαι· καὶ μάλιστα περὶ τοῦ Βεσπασιανοῦ ὡς τυφλόν τινα καὶ ἕτερον λελωβημένον ἐξ ὄψεώς τινος ὀνείρου ἐθεράπευσεν:

---

2 κληιμακτῆρα  8 κομίσοι  17 φονεύεις  28 πρὸς ἀγγ.

Digitized by Google

Πῶς δὲ πεισθήσομαι καὶ τοῖς περὶ Δομετιανοῦ λεγομένοις ὑπὲρ φύσιν οὖσιν; λέγουσι γάρ, ὡς Πρόκλος ἀστρολόγος καὶ γόης ἐν Γερμανίᾳ δημοσίᾳ προεῖπεν τὴν ἡμέραν, ἐν ᾗ τεθνήξεται. καὶ διὰ τοῦτο δεθεὶς ἀνεπέμφθη εἰς Ῥώμην καὶ προσήχθη τῷ Δομετιανῷ καὶ αὐτῷ εἶπεν εἰς ὄψιν αὐτὴν τὴν ἡμέραν, ἐν ᾗ | [46v] μέλλει τελευτᾶν· ὁ δὲ ἐκέλευσεν αὐτὸν φυλαχθῆναι ἐν δεσμοῖς ὡς ὀφείλοντα ἐπ' ὄψεσιν αὐτοῦ ἀναιρεθῆναι. τοῦ δὲ εἰπόντος· οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι. ἐν τῷ μέσῳ Δομετιανὸς ἀπώλετο:

β̅

Ἀσκληπιὸς ἀστρολόγος προσῆλθε τῷ Δομετιανῷ λέγων πάντως ἀποσφαγήσεσθαι αὐτὸν τῇ ἐπιούσῃ ἡμέρᾳ, πρινὴ πέντε ὥρας παρελθεῖν τῆς ἡμέρας. ὁ δὲ γελάσας ἤρετο αὐτόν, εἴ τι περὶ αὐτοῦ ἔχει μαντεύσασθαι. ὁ δὲ εἶπεν· ὡς καὶ αὐτὸς πάνυ ταχέως ὑπὸ κυνῶν διασπασθήσεται. ὁ δὲ βουλόμενος αὐτὸν ἀποδεῖξαι ψευδόμενον ἐκέλευσε σταυρῷ προσδεθέντα καυθῆναι. ὡς δὲ τὸ | [47r] πῦρ ὑπέβαλον, ῥαγδαιότατος ὄμβρος ἐπεγένετο καὶ τὸ πῦρ ἀπέσβεσεν· καὶ διὰ τὴν σφοδρότητα τοῦ ὕδατος φυγόντων τῶν φυλάκων κύνες προσελθόντες διέσπασαν αὐτόν· ὅπερ μαθὼν ὁ Δομετιανὸς ἐν φόβῳ ἐγένετο, μήπως καὶ περὶ αὐτοῦ ἀληθεύσῃ. ὅπερ καὶ γέγονεν:

γ̅

Περὶ τοῦ Ἀπολλωνίου φησὶ καὶ Δίων καὶ Λουκιανός, ὡς ἐν τῷ καιρῷ τῆς ἀναιρέσεως αὐτοῦ ἀναβὰς ἐν ὑψηλῷ τόπῳ ἐν Ἐφέσῳ ὁ Ἀπολλώνιος ἐπὶ παντὸς τοῦ πλήθους ἐβόα· καλῶς Στέφανε· εὖγε Στέφανε· παῖε παῖε τὸν μιαιφόνον· ἔπληξας ἔτρωσας ἀπέκτεινας:

Καὶ εἶπον ἂν καὶ ἄλλα τινὰ καθ' ἑξῆς τοῦ χρόνου μέχρι σχεδὸν | [47v] τοῦ καθ' ἡμᾶς. ἀλλ' ἵνα μὴ δόξω θηρώμενος δόξαν κενὴν ταῦτα γράφειν, ἄλλως τε καὶ τῶν πλείστων πᾶσι γινωσκομένων Κύρου μνησθήσομαι καὶ Ῥωμύλου σὺν τῷ ἀδελφῷ αὐτοῦ· τὰ γὰρ περὶ Ἀλεξάνδρου τοῦ Πριάμου καὶ Οἰδίποδος τί καὶ γράφοιμι ὡς μηδενὸς τὰ κατ' αὐτοὺς ἀγνοοῦντος:

8 οὔτοι  20 αὐτοῦ

Digitized by Google

Περὶ Κύρου

Κῦρος τοίνυν, ὁ πρῶτος Περσῶν βασιλεύς, πάππον ἔσχεν Μῆδον, πατέρα δὲ Πέρσην· πρῶτος γὰρ βασιλεὺς Μήδων γίνεται Δηιόκης σοφὸς ἀνήρ· ὃς τεκὼν Φραόρτην τελευτᾷ βασιλεύσας ἔτη ν̅γ̅· Φραόρτης δὲ γεννᾷ Κυαξάρην βασιλεύσας ἔτη κ̅β̅· Κυαξάρ|ης δὲ γεννᾷ Ἀστυάγη· ᾧ κατηγγύησε τὴν θυγα- 48r τέρα τοῦ Ἀλυάττου, τὴν ἀδελφὴν λέγω τοῦ Κροίσου. γεννᾷ ἐξ αὐτῆς θυγατέρα Μανδάνην ὀνόματι, ἣν ἐδόκει καθ' ὕπνους οὐρῆσαι τοσοῦτον, ὥστε πλῆσαι μὲν τὴν ἑαυτοῦ πόλιν, κατακλῦσαι δὲ καὶ τὴν Ἀσίαν πᾶσαν. ὑποθέμενος δὲ τοῖς ὀνειροπόλοις τῶν μάγων τὸ ἐνύπνιον μαθὼν παρ' αὐτῶν ἐφοβήθη. ἤκουσαν δὲ τὴν Μανδάνην εἰς ὥραν ἀνδρὸς Μήδων μὲν οὐδενὶ αὐτὴν ἐκδίδωσι γυναῖκα, Πέρσῃ δέ, ᾧ ὄνομα Καμβύσης, ὡς μὴ δοκῶν ἐκ Περσικοῦ αἵματος βασιλέα Μήδοις καθίστασθαι. συνοικούσης δὲ|τῆς Μανδάνης τῷ Καμβύσει ὁ Ἀστυάγης τῷ 48v πρώτῳ ἔτει εἶδεν ἄλλην ὄψιν· ἐδόκει ἐκ τῶν αἰδοίων τῆς θυγατρὸς φῦναι ἄμπελον ἐπισχοῦσαν τὴν Ἀσίαν πᾶσαν· ἐπίτεκα δὲ οὖσαν τὴν θυγατέρα ἐφύλασσε βουλόμενος τὸ γεννώμενον ἐξ αὐτῆς διαφθεῖραι. ὡς δὲ ἐγεννήθη ὁ Κῦρος, καλέσας οἰκεῖον καὶ αὐτῷ λίαν πιστότατον, ὀνόματι Ἅρπαγον, πολλὰ παρεγγυησάμενος καὶ παραγγείλας αὐτῷ· λάβε τὸν παῖδα Μανδάνης, ἔφη, καὶ ἀποκτείνας θάψον. λαβὼν τοίνυν τὸν παῖδα ὁ Ἅρπαγος ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ τῇ ἰδίᾳ γυναικὶ εἰπών, ὅσα αὐτῷ παρήγγειλεν Ἀστυάγης. ἡ δὲ|ἀποποιησαμένη αὐτό- 49r χειρα γενέσθαι τοῦ παιδός, καὶ μάλιστα τοῦ Ἀστυάγους γέροντος ὄντος καὶ ἄρρενος παιδὸς ἐστερημένου, εἰ συμβῇ τὴν θυγατέρα αὐτοῦ μετὰ τὸν θάνατον αὐτοῦ ἀντισχεῖν τῆς βασιλείας, τίνος τῶν τιμωριῶν οὐ πειραθήσεται. ἀλλὰ δράσει τοῦτό τις τῶν Ἀστυάγους οἰκετῶν. προσκαλεσάμενος οὖν ὁ Ἅρπαγος τὸν ἐπιτηδειότατον τῶν νομέων τοῦ Ἀστυάγους, ᾧ ὄνομα Μιτραδάτης, καὶ τῇ γυναικὶ αὐτοῦ Κυνώ, ὃ Περσικῶς λέγεται

---

1 Ι̅ς̅ ad marg. 5 κυαξάρξην 6 κυαξάρξης 17 ἐπίτοκα 18 ἐφύλασσεν 19 κύρσος 31 μητραδάτης

Σπακώ· εἶπεν αὐτῷ· παραγγέλλει σοι Ἀστυάγης δι' ἐμοῦ
παραλαβεῖν τὸ παιδίον τοῦτο εἰς θηριῶδες ὄρος, ὅπως φθαρῇ.
παρακαθέζου δὲ αὐτῷ καὶ ἡνίκα|τελευτήσει θάψον αὐτό. 49v
λαβὼν δὲ τὸ παιδίον ὁ Μιτραδάτης ἀπῆλθε πρὸς τὴν γυναῖκα
αὐτοῦ καὶ ἀπήγγειλεν αὐτῇ τὸ πᾶν, καὶ ὅτι ὁ προπέμψας με
οἰκέτης τοῦ Ἁρπάγου κατὰ τὴν ὁδὸν ἐξηγήσατό μοι τῆς θυ-
γατρὸς τοῦ Ἀστυάγους εἶναι τὸ παιδίον· ἡ δὲ γυνή, ὡς εἶδε τὸ
παιδίον, ἐδέετο τοῦ ἀνδρὸς μηδὲν κακον ποιῆσαι αὐτό. ὁ δὲ
ἀνὴρ οὐκ ἐπείθετο φάμενος ἐπιφοιτήσειν κατασκόπους ἐξ
Ἁρπάγου ἐποψομένους τὸν τοῦ παιδίου θάνατον. ἐπεὶ δὲ οὐκ
ἔπειθε, λέγει αὐτῷ· ἐγὼ τέτοκα παιδίον νεκρόν· τοῦτο μὲν
φέρων πρόθες· τὸν δὲ τῆς θυγατρὸς Ἀστυάγους ὡς ἐξ ἡμῶν
ὄντα ἀναθρέψωμεν·|ἐπείσθη ὁ βουκόλος τῇ γυναικὶ καὶ λαβὼν 50r
τὸ τεθνεὸς καὶ κοσμήσας τῷ παντὶ κόσμῳ τοῦ Κύρου ἐτίθει
εἰς τὸ ἐρημότατον τῶν ὀρέων· καὶ μετὰ τρίτην ἡμέραν ἀπῆλθεν
εἰς τοῦ Ἁρπάγου καί φησιν αὐτῷ ἕτοιμον εἶναι δεῖξαι τοῦ
παιδὸς τὸν νεκρόν. ὁ δὲ Ἅρπαγος τοὺς πιστοτάτους αὐτοῦ
ἀποστείλας ἔμαθεν, ἃ διηγήσατο ὁ βουκόλος, καὶ ἔθαψε τοῦ
βουκόλου τὸ παιδίον. γενόμενος δὲ δεκαετὴς ὁ Κῦρος ὑπὸ
παίδων παιζόντων προβέβληται αὐτοῖς βασιλεὺς καὶ διέταξε
τὸν μὲν οἰκίας οἰκοδομεῖν, τοὺς δὲ δορυφόρους εἶναι, ἕτερον δὲ
ἀγγελιαφόρον· εἷς δὴ τούτων ὑπάρχων τοῦ|Ἀρτεμβάρεος παῖς, 50v
ἀνδρὸς δοκίμου ἐν Μήδοις, μὴ ποιῶν τὰ κελευόμενα αὐτῷ ὑπὸ
τοῦ Κύρου μαστίζεται δεινῶς· ὁ δὲ ταχέως πρὸς τὸν πατέρα
ἀπέρχεται, διηγούμενος, ἃ πέπονθεν ὑπὸ τοῦ παιδὸς τοῦ βου-
κόλου. μὴ φέρων οὖν τὴν ὕβριν ὁ Ἀρτεμβάρης λαβὼν τὸν
ἑαυτοῦ υἱὸν ἐξημμένον ταῖς μάστιξιν ἧκει πρὸς Ἀστυάγη διη-
γούμενος τὸ γεγονὸς καὶ ὑποδεικνύων τὰς πληγὰς τοῦ παιδός.
παρ' αὐτὰ οὖν μετακαλεῖται τόν τε βουκόλον καὶ τὸν παῖδα
τίσαι βουλόμενος τῷ Ἀρτεμβάρει τῆς τοῦ παιδὸς ὕβρεος. ἔφη
δὴ πρὸς τὸν Κῦρον· βουκόλου παῖς ὢν πῶς ἐτόλμησας τοῦ
πρώτου παρ' ἐμοὶ τὸν παῖδα|αἰκίσασθαι. ὁ δὲ ἀπεκρίνατο· ἐγὼ 51r
ταῦτα ἐποίησα σὺν δίκῃ. οἱ γὰρ ἐκ τῆς κώμης, ἐξ ὧν καὶ

---

11 ἔπειθεν 27 ἐξαμμένον

οὗτος ἦν, παῖδες ἑαυτῶν με ἐστήσαντο βασιλέα. καὶ οἱ μὲν
ἄλλοι παῖδες τὰ ἐπιτασσόμενα ἐξετέλουν, οὗτος δὲ ἦν παρή-
κοος. καὶ εἰ τούτου ἕνεκα ἄξιός εἰμι τινὸς κακοῦ, ἰδοὺ πάρειμι.
ταῦτα λέγοντος τοῦ παιδὸς εἰσῄει τῷ Ἀστυάγει ἀναγνώρισις
τοῦ τε χαρακτῆρος τοῦ προσώπου καὶ ἡ ὑπόκρισις ἐλευθερω-
τέρα εἶναι ὅ τε χρόνος τῆς ἐκθέσεως τῇ ἡλικίᾳ τοῦ παιδὸς
ἐδόκει συμβαίνειν. ἐκπλαγεὶς οὖν ἐκπέμπει τὸν Ἀρτεμβάρη,
ἵνα τὸν βουκόλον μονωθέντα βασανίσῃ· τὸν δὲ Κῦρον ἔσω
ἦγον οἱ θεράποντες. μονωθεὶς οὖν ὁ βουκόλος φοβηθεὶς τὰς
ἀπειλὰς ἐξήγγειλε πάντα. προσκαλεῖται οὖν τὸν Ἅρπαγον· ὁ
δέ, ὡς εἶδε τὸν βουκόλον ἔνδον ὄντα, οὐδὲν τῆς ἀληθείας ἀπε-
κρύψατο. λέγει οὖν αὐτῷ Ἀστυάγης ἐπικρύπτων τὴν ὀργήν·
ὡς τὸ παιδίον περίεστι καὶ τὸ γεγονὸς ἔχει καλῶς. καὶ γὰρ
ἔκαμνον περὶ τοῦ παιδὸς καὶ τῇ θυγατρὶ τῇ ἐμῇ διαβεβλημένος
ἐβαρυνόμην. πέμψον οὖν τὸν παῖδά σου παρὰ τὸν παῖδα τὸν
νεήλυδα· σῶστρα δὲ τοῦ παιδὸς μέλλω θύειν, καὶ πάρισθί μοι.
Ἅρπαγος οὖν ἀνεχώρησεν εὐθύμως μηδὲν τῶν γενησομένων
ὑφορώμενος. | ὡς δὲ ἀφίκετο τοῦ Ἁρπάγου υἱὸς πρὸς Ἀστυάγην, 52r
σφάζει αὐτὸν καὶ τὰ μέλη διελὼν τὰ μὲν ὤπτησε, τὰ δὲ ἥψη-
σεν. ἐπεὶ δὲ κατέλαβεν ἡ ὥρα τοῦ δείπνου, τοῖς μὲν λοιποῖς
δαιτυμόσι καὶ Ἀστυάγει παρετίθεσαν τὰ πρόσφορα τῶν ἐδεσμά-
των, Ἁρπάγῳ δὲ τοῦ παιδὸς τοῦ ἑαυτοῦ τὰ κρέα πλὴν κεφαλῆς
καὶ ποδῶν καὶ χειρῶν. ὡς δὲ ἐκορέσθη ὁ Ἅρπαγος τῶν κρεά-
των τοῦ παιδός, ἠρώτα Ἀστυάγης, εἰ καλὰ τὰ βρώματα. ὁ δὲ
καὶ πάνυ ἔφη. κελεύει οὖν ἀχθῆναι τήν τε κεφαλὴν καὶ πόδας
καὶ χεῖρας περικεκαλυμμένας καὶ προστάσσει Ἅρπαγον ἀνα-
καλύψαι. ἀποκαλύπτων δὲ ὁρῶν ἀνεγνώ|ρισε τοῦ παιδὸς εἶναι 52v
τοῦ ἑαυτοῦ. ἤρετο οὖν ὁ Ἀστυάγης, εἰ γνωρίζοι, τίνος ζῴου
κρέα βεβρώκοι. ὁ δὲ καὶ γινώσκειν ἔφη καὶ ἀρεστὸν εἶναι πᾶν
τὸ παρὰ βασιλέως πραττόμενον. ἀναλαβὼν οὖν τὰ λοιπὰ τῶν
κρεῶν ἀπῆλθεν εἰς τὰ οἰκία θάψαι αὐτά. τίσασθαι δὲ βουλό-
μενος Ἀστυάγην γράφει βιβλίον καὶ ἐμβάλλει αὐτὸ εἰς κοιλίαν
λαγωοῦ καὶ ῥάψας αὐτὴν τὸν λαγὸν περιειλήσας δικτύῳ δίδωσί

24 ἠρῶτα  31 οἰκια  32 βυβλίον



Digitized by Google

τινι τῶν πιστοτάτων ἀποκομίσαντα Κύρῳ εἰπεῖν αὐτῷ μόνον
παρόντα σχίσαι τὸν λαγόν. ἤδη γὰρ ἐπέμφθη Κῦρος πρὸς
τοὺς ἑαυτοῦ γονεῖς εἰς Περσίδα, ὑποθήκαις τῶν μάγων ὡς
πληρωθέντος τοῦ ὀνείρου διὰ τὸ|ὑπὸ παίδων ἀναρρηθῆναι τὸν 53r
Κῦρον βασιλέα· λαβὼν δὲ παρὰ τοῦ οἰκέτου τοῦ Ἁρπάγου τὸν
λαγὸν καὶ ἀναλεξάμενος εἰς τὰ γεγραμμένα ἀφιστᾷ μὲν Πέρ-
σας ἐκ Μήδων, καταστρατηγήσας δὲ τοῦ πάππου εἷλεν αὐτὸν
αἰχμάλωτον καὶ κατέσχε τὴν βασιλείαν Μήδων τε καὶ Περσῶν,
βασιλεύσαντος Ἀστυάγους ἔτη λε̅:

### Περὶ Ῥώμου καὶ Ῥωμύλου

Ἁλούσης Τροίας ὀγδόῃ τοῦ Δεκεμβρίου μηνὸς φεύγων
Αἰνείας εἰς τὴν Ἴδην διελθεῖν τοὺς Ἀχαιοὺς συγχωροῦντας
αὐτῷ βαστάζοντι εἴδωλα καὶ γένος. οἱ δὲ λέγουσιν, ὡς οὐ τὴν
ὄψιν αὐτῶν συνενεγκεῖν, ἀλλ' ὅτι πολλάκις εἰσηγήσατο τοῖς
βαρβάροις|ἀποδοῦναι τὴν Ἑλένην τοῖς Ἀχαιοῖς. ἐκεῖ δὲ Φρυ- 53v
γῶν χεῖρα συλλέξας ἀπῆλθεν εἰς Λωρεντὸν καὶ ἐγγυησάμενος
τὴν Λαουινίαν θυγατέρα Λατίνου βασιλέως τῶν Ἀβοριγίνων
κτίζει πόλιν καὶ ὀνομάζει αὐτὴν Λαουίνιον ἐκ τῆς γυναικός.
καὶ τρίτῳ ἔτει τελευτήσαντος Λατίνου διαδεξάμενος τὴν ἀρχὴν
ἀπὸ τοῦ κηδεστοῦ ὀνομάζει τοὺς Ἀβοριγίνας Λατίνους. καὶ
τρίτῳ δ' αὖ πάλιν ἔτει Ῥουτούλων βασιλεὺς Μεζέντιος συμβα-
λὼν μετ' αὐτοῦ πόλεμον διὰ τὸ προεγγεγυῆσθαι αὐτῷ τὴν
Λαουινίαν ἀναιρεῖ Αἰνείαν. βασιλεύει οὖν ἀντ' αὐτοῦ Ἀσκάνιος.
καὶ τὸ Λαουίνιον ὑπεριδὼν ὡς|εὐτελὲς ἑτέραν ᾤκισεν ὑπὸ τὸ 54r
ὄρος τὸ Ἀλβανὸν ὀνομάσας Ἄλβην, ἣν δυναστεύσασαν ἔτη
τριακόσια ἀνεῖλον Ῥωμαῖοι ὡς μηδὲ οἰκόπεδον αὐτῆς κατα-
λειφθῆναι. διαδέχεται δὲ τοῦτον Σίλουιος τρίτον· εἶτα τέταρτον
Αἰνείας ἄλλος· τοῦτον πέμπτον Λατῖνος· τὸν δὲ ἕκτον Κάπυς·
εἶτα ἕβδομον Κάπετος· μεθ' ὃν ὄγδοον Τιβερῖνος. θ̅ τοῦτον
Ἀγρίππας· δέκατον μετ' αὐτὸν Ῥωμύλος· ἑνδέκατον εἶτα
Ἀουεντῖνος· μεθ' ὃν δωδέκατον Πρόκας καὶ τρισκαιδέκατον

7 κατὰ στρ. 10 ι̅ς̅ ad marg. 11 αλούσης 12 διέλθοι συγχωροῦντι 17 λαϊουνίαν ἀβορηγίνων 18 λαουίνιαν 20 ἀβορηγίνας 22 πρὸ ἐγγ. 23 λαουΐνιαν 24 ὑπὲρ ἰδ. ὤκησεν 27 σιλόνιος 30 ἀγρόπας 31 αὐεντῖνος

Digitized by Google

Νεμέτωρ καὶ Ἀμούλιος. τούτων ὁ πατὴρ Νεμέτορι ὡς πρεσβυτέρῳ τὴν ἀρχὴν κατέλιπεν· Ἀμούλιος δὲ ὁ ἀδελφὸς παρωσάμενος| αὐτὸν ἐβασίλευσεν· ὑποπτεύων δὲ τὴν τίσιν Ἔγεστον [54v] μὲν τὸν υἱὸν τοῦ ἀπωσμένου ἀναιρεῖ ἐν κυνηγεσίῳ, τῆς δὲ ἀδελφῆς αὐτοῦ δεδιώς, παῖδα εἰ τεκνογονήσοι, ἱέρειαν καθίστησιν. ἡ δὲ ἔγκυος γενομένη, ὡς ἔφη, ὑπὸ Ἄρεως ἐν τῇ πηγῇ αὐτοῦ ὑδρευομένη γεννᾷ Ῥῶμον καὶ Ῥωμύλον. ταύτην οὖν καθείρξας ὁ Ἀμούλιος τοὺς παῖδας δίδωσι ῥιφῆναι εἰς τὸν Τίβεριν, τηνικάδε Θύβριν ὀνομαζόμενον. φερόντων δὲ τῶν παραλαβόντων τοὺς παῖδας εἰς τὸν ποταμόν· οὗτοι δὲ ποιμένες ἦσαν· καὶ θεμένων τὸν γαυλὸν εἰς τὸ πρῶτον ἐν ποσὶν ὕδωρ ἐκλιμνιάσαντος τοῦ ποταμοῦ καὶ ἀναχωρησάντων| ὑπέρρει τὸ ὕδωρ καὶ ἦν [55r] ἐπὶ τοῦ ξηροῦ τὰ βρέφη, καὶ λύκαινα εἰς τὸν γαυλὸν ἐμβᾶσα ἔτρεφεν· ἡ Λαυρεντία γυνὴ Φαιστύλου ποιμένος ** τούτων ἀνδρουμένων ἐπὶ λῃστείᾳ καὶ τὸν Ῥῶμον ἐπιχειροῦντα χωρίοις Νεμέτορος συλλαβόντες ἀνῆγον πρὸς τὸν Ἀμούλιον. ὁ δὲ Νεμέτορι τῷ ἀδελφῷ ὡς ὑπ᾿ αὐτοῦ λῃστευθέντι ἀπέστειλεν, ὡς ἂν καταγνωσθέντα κολάσαι· ἀλλ᾿ ὁ μὲν ἐς τὴν ὄψιν τοῦ μειρακίου ἰδὼν καὶ τὸν χρόνον τῆς ἐκθέσεως συγκρίνων καὶ τὰ ἄλλα εἰς ὑποψίαν τοῦ ἀληθοῦς γενόμενος ἐξήταζεν αὐτὸν περὶ τῆς ἀνατροφῆς. ὁ δὲ Ῥωμύλος φοβηθεὶς καὶ παρὰ Φαιστύλου μαθὼν τὰ περὶ ἑαυτοῦ καὶ τοῦ| ἀδελφοῦ τῆς τε μητρὸς ὡς εἴη [55v] καθειργμένη, χεῖρα ποιμένων ἁλίσας ἐπιπίπτει σὺν αὐτοῖς, καὶ τὸν Ἀμούλιον ἀποκτείναντες ἀποφαίνουσιν Ἀλβανοῖς Νεμέτορα βασιλέα, αὐτοὶ δὲ πόλιν ἔκτισαν ἐπὶ τοῦ ποταμοῦ, παρ᾿ ὃν ἐκτεθέντες ἐκτρέφοντο καὶ τραφέντες ἐλῄστευον, ἣν καὶ ὠνόμασαν Ῥώμην, τὸ τηνικάδε Τετράγωνον λεγομένην, ὅτι δεκατεσσάρων σταδίων ἦν αὐτῆς ἡ περίμετρος, ἑκάστης πλευρᾶς τέσσαρα στάδια ἐχούσης:

Περὶ Ἀράβων μαντείας

Ἀππιανός φησι τῷ τέλει τοῦ κδ̅ βιβλίου· φεύγοντί μοι ποτὲ τοὺς Ἰουδαίους ἀνὰ τὸν πόλεμον τὸν ἐν Αἰγύπτῳ γενόμενον καὶ ἰόντι διὰ τῆς Πετραίας Ἀρα| βίας ἐπὶ ποταμόν, ἔνθα [56r]

14 lacuna hic videtur esse 23 καθειρμένη αυτ. 25 παρὸν 30 ιη̅ ad marg.

με σκάφος περιμένον ἔμελλε διοίσειν ἐς Πηλούσιον· Ἄραψ ἀνὴρ
διηγεῖτό μοι τῆς ὁδοῦ νυκτὸς οἰομένῳ πλησίον εἶναι τοῦ σκά-
φους. κρωζούσης ἄρτι πρὸς ἕω κορώνης ἔφη συνταραχθείς·
πεπλανήμεθα. καὶ κρωζούσης αὖθις εἶπεν· ἄγαν πεπλανήμεθα.
θορυβουμένῳ δέ μοι καὶ σκοποῦντι, εἴ τις ὁδοιπόρος ὀφθήσεται,
καὶ οὐδένα ὁρῶντι, ὡς ἐν ὄρθρῳ ἔτι πολλῷ καὶ γῇ πολεμου-
μένῃ τὸ τρίτον ὁ Ἄραψ τοῦ ὀρνέου πυθόμενος εἶπεν ἡσθείς·
ἐπὶ συμφέροντι πεπλανήμεθα καὶ ἐχόμεθα τῆς ὁδοῦ· ἐγὼ δὲ
ἐγέλων μέν, εἰ καὶ νῦν ἐξόμεθα τῆς πλανώσης, | καὶ ἀπεγίνω- 56v
σκον ἐμαυτοῦ πάντων πολεμίων ὄντων οὐκ ὄν μοι δυνατὸν οὐδ᾽
ἀναστρέψαι διὰ τοὺς ὄπισθεν, οὓς δὴ καὶ φεύγων ἠρχόμην·
ὑπὸ δ᾽ ἀπορίας εἰπόμην ἐκδοὺς ἐμαυτὸν τῷ μαντεύματι. οὕτω δὲ
ἔχοντί μοι παρὰ δόξαν ἕτερος ποταμὸς ἐκφαίνεται ὁ ἀγχοτάτω
μάλιστα τοῦ Πηλουσίου καὶ τριήρης ἐς τὸ Πηλούσιον παρα-
πλέουσα, ἧς ἐπιβὰς διεσωζόμην· τὸ σκάφος δὲ, ὃ μὲν ἐν τῷ
ἑτέρῳ ποταμῷ ὑπέμεινεν, ὑπὸ Ἰουδαίων ἐλήφθη. τοσούτου
ὠνάμην καὶ τοσοῦτον ἐθαύμασα τοῦ μαντεύματος. Οὗτοι μὲν
οὖν εἰσι θρησκευτικοί, μαντικοί, γεωργοί, φαρμάκων ἐπιστή-
μονες, | οὓς εἰκὸς ἐν Αἰγύπτῳ γῆν εὑρόντας ἀγαθὴν οἷα γεωρ- 57r
γοὺς καὶ ἔθνος ὁμοίως θεοσεβές τε καὶ μαντικὸν καὶ φαρμάκων
οὐκ ἄπειρον οὐδ᾽ ἄστρων ἐμμεῖναι χαίροντας ὡς παρ᾽ ὁμοίοις:

Περὶ βρουμαλίων

Ἔθος ἦν τοῖς Ῥωμαίοις εἰς τρία διατάττειν αὐτῶν τὴν
πολιτείαν καὶ τοὺς μὲν ἐπιτηδείους τοῖς ὅπλοις ἀφορίζειν,
τοὺς δὲ τῇ γεωργίᾳ, τοὺς δὲ τοῖς κυνηγεσίοις. τούτων δὲ πέρας
ἄγει ἡ τοῦ χειμῶνος ὥρα· ἐν αὐτῇ γὰρ οὔτε ἐνοπλίζονται,
οὔτε γεωργοῦσι διὰ τὸ τῆς ὥρας ψῦχος καὶ τὸ τῆς ἡμέρας
βραχύ. ὅθεν καὶ βροῦμαν αὐτὴν πατρίως ὠνόμασαν, οἱονεὶ
βραχὺ ἦμαρ· | βρουμάλια δὲ οἱονεὶ χειμεριναὶ ἑορταί. ἀργοῦντες 57v
οὖν τὸ τηνικάδε οἱ Ῥωμαῖοι μέχρι τῶν αὐξιφωτίων ἐπὶ τῶν
νυκτῶν χαιρετίζοντες ἐπευφήμουν ἀλλήλους, τῇ πατρίῳ φωνῇ
λέγοντες βίβε σάννους, οἷον ζῆθι εἰς χρόνους. οἱ δὲ γεωργικοὶ
πρὸς θεράπειαν Κρόνου καὶ Δήμητρος ἔσφαττον χοίρους· ὅθεν

6 ἐνορθρ. 12 ὑπο 14 παρὰ πλ. 19 εἰκώς εὑρόντες 26 ἐναυτ.

Digitized by Google

καὶ νῦν φυλάττεται κατὰ τὸν Δεκέμβριον ἡ χοιροσφαγία. ἔσφα-
ζον δὲ οἱ ἀμπελουργοὶ τράγους εἰς τιμὴν τοῦ Διονύσου. ὁ γὰρ
τράγος πολέμιος τῆς ἀμπέλου· καὶ ἐκδέροντες αὐτοὺς τοὺς
ἀσκοὺς πληροῦντες πνεύματος ἐφήλλοντο αὐτοῖς. οἱ δὲ πολι-
τικοὶ καὶ τὰς ἀπαρ|χὰς τῶν συγκλεισθέντων καρπῶν, οἶνον 58r
καὶ ἔλαιον, σῖτον καὶ μέλι καὶ πάντα τὰ ἀπὸ δένδρων ὅσα δια-
μένουσι καὶ σώζονται ἐποίουν ἄρτους ἄνευ ὕδατος καὶ ταῦτα
προσῆγον τοῖς ἱερεῦσι τῆς μητρός· φυλάττεται δὲ ἡ τοιαύτη
συνήθεια ἔτι καὶ νῦν καὶ κατὰ τὸν Νοέμβριον καὶ Δεκέμβριον
ἄχρι τῶν αὐξιφωτίων προσφέρουσιν αὐτὰ τοῖς ἱερεῦσιν. τὸ γὰρ
καὶ ὄνομα χαιρετίζειν ἐν τοῖς βρουμαλίοις νεώτερόν ἐστι· τὸ δὲ
ἀληθέστερον, ἐξ οὗ καὶ ἡ ἐκκλησία ἀποτρέπεται αὐτά, Κρονίας
αὐτὰς λέγουσιν. ἐν νυκτὶ δὲ γίνονται, ὅτι ἐν σκότει ἐστὶν ὁ Κρόνος
ὡς ταρταρω|θεὶς ὑπὸ τοῦ Διός. αἰνίττονται δὲ τὸν σῖτον ἀπὸ 58v
τοῦ ἐν τῇ γῇ σπαρῆναι καὶ τὸ λοιπὸν μὴ φαινομένου. τοῦτο
δέ ἐστιν ἀληθέστερον ὡς εἴρηται, ὅτι νυκτοπόρος ἡ περὶ αὐτὸν
σπουδή, ὥστε λοιπὸν κατὰ τὸ ἀληθὲς τῶν καταχθονίων δαι-
μόνων εἰσὶν ἑορταὶ τὰ βρουμάλια:

Περὶ βισέξτου

Τὸ τοῦ βισέξτου ὄνομα Ῥωμαϊκόν ἐστι, δηλοῦν τὸ δὶς ἕξ,
καὶ ἔστιν οὕτως· εἰς τρία μερίζουσι Ῥωμαῖοι τοὺς μῆνας· καὶ
τὴν μὲν πρώτην τοῦ μηνὸς καλοῦσι κάλανδαν, ὡς καλοῦντος
ἐν αὐτῇ τοῦ ἱερέως καὶ ὑποδηλοῦντος τοῖς λαοῖς τὴν τῶν νω-
νῶν ἡμέραν. αὕτη γὰρ οὐκ ἔστι|τῇ αὐτῇ ποσότητι ἑκάστου 59r
μηνός, ὥσπερ οὐδὲ αἱ εἶδοι. ἀλλ' ἐπὶ Ἰαννουαρίου καὶ Φεβρου-
αρίου, Ἀπριλίου τε καὶ Ἰουνίου, Αὐγούστου τε καὶ Σεπτεμβρίου
καὶ Νοεμβρίου, ἀλλὰ μὴν καὶ Δεκεμβρίου τὰς μὲν νώνας λέγουσι
πέμπτῃ τοῦ μηνός· τὰς δὲ εἴδους τρισκαιδεκάτῃ τοῦ μηνός.
ἐπὶ δὲ Μαρτίου καὶ Μαΐου, Ἰουλίου τε καὶ Ὀκτωβρίου τὰς μὲν
νώνας τῇ ἑβδόμῃ τοῦ μηνός, τὰς δὲ εἴδους τῇ πεντεκαιδε-
κάτῃ· διά τοι τὴν τοιαύτην ἀνισότητα χρεία ἐστὶ κηρύττεσθαι
ὑπὸ τῶν ἱερέων ἑκάστου μηνὸς τῇ νεομηνίᾳ· ἤγουν τῇ καλάνδῃ
τὴν ἡμέραν τῶν νωνῶν καὶ τῶν εἴδων· ἑορτά|σιμοι γάρ εἰσιν 59v

---

6 ἀπο  8 Δήμητρος?  23 ἐναυτ.  29 ἐπι

αἱ τρεῖς αὗται ἡμέραι ἑκάστου μηνός. λέγονται οὖν οὕτως· καλάνδαις Ἰαννουαρίαις τῇ πρώτῃ τοῦ Ἰαννουαρίου· τὴν δὲ δευτέραν πρὸ τεσσάρων νωνῶν Ἰαννουαρίων, τὴν τρίτην πρὸ τριῶν, τὴν τετάρτην τοῦ Ἰαννουαρίου πρὸ μιᾶς νωνῶν· οὐκ ὀνομάζουσι γὰρ τὴν δυάδα. διὰ τοῦτο οὐ λέγουσι πρὸ δύο ὡς ἀποφράδα καὶ τὴν πέμπτην καλοῦσι νώνας Ἰαννουαρίας, τὴν δὲ ἕκτην πρὸ ὀκτὼ εἴδων Ἰαννουαρίων, τὴν ἑβδόμην πρὸ ἑπτά, τὴν ὀγδόην πρὸ ἕξ, τὴν ἐνάτην πρὸ πέντε, τὴν δεκάτην πρὸ τεσσάρων, τὴν ἑνδεκάτην πρὸ τριῶν, τὴν δωδεκάτην | πρὸ μιᾶς, τὴν 60r τρισκαιδεκάτην εἴδους Ἰαννουαρίας, τὴν ιδ πρὸ δεκαεννέα καλενδῶν Φεβρουαρίων· ἡ ιε πρὸ ιη· ἡ ις πρὸ ιζ, ἡ ιζ πρὸ ις, ἡ ιη προ ιε, ἡ ιθ πρὸ ιδ· ἡ κ΄ πρὸ ιγ, ἡ κα πρὸ ιβ, ἡ κβ πρὸ ια, ἡ κγ πρὸ ι, ἡ κδ πρὸ θ, ἡ κε πρὸ η, ἡ κς πρὸ ζ, ἡ κζ πρὸ ς, ἡ κη πρὸ ε, ἡ κθ πρὸ δ, ἡ λ΄ πρὸ γ, ἡ λα πρὸ α καλανδῶν Φεβρουαρίων. εἶτα ἡ πρώτη τοῦ Φεβρουαρίου καλένδαι Φεβρουάριαι καὶ κατὰ τὸν ὅμοιον τρόπον ἡ μὲν ε τοῦ Φεβρουαρίου λέγεται νῶναι Φεβρουάριαι, ἡ δὲ ιγ εἶδοι, ἡ δὲ τεσσαρεσκαιδεκάτη πρὸ δεκαὲξ καλενδῶν Μαρτίων, ἡ ιε πρὸ ιε, ἡ ις πρὸ ιδ, ἡ ιζ πρὸ ιγ, ἡ ιη πρὸ ιβ, | ἡ ιθ πρὸ ια, ἡ κ΄ πρὸ ι, ἡ 60v κα πρὸ θ, ἡ κβ πρὸ η, ἡ κγ πρὸ ζ, ἡ κδ πρὸ ς, καὶ καταντᾶ ἡ πρὸ μιᾶς τῇ κη τοῦ Φεβρουαρίου μηνός. ἡνίκα τοίνυν ἔχει κθ ἡμέρας ὁ Φεβρουάριος, ἀναγκάζεται δὶς φάναι πρὸ ἓξ καλενδῶν Μαρτίων, ἵνα πρὸ ἓξ καλανδῶν Μαρτίων τὴν κδ τοῦ Φεβρουαρίου δηλώσῃ, καὶ πάλιν εἰπεῖν πρὸ ἓξ καλενδῶν Ἰαννουαρίων τὴν κε. καί γίνεται δὶς τὸ πρὸ ἓξ καλενδῶν Μαρτίων· εἶτα ἡ εἰκὰς ἕκτη πρὸ ε, ἡ κζ πρὸ δ, ἡ κη πρὸ γ, ἡ κθ πρὸ α διὰ τὸ ἔχειν τὸν Φεβρουάριον ἡμέρας κθ· εἶτα κάλανδαι Μάρτιαι· διὰ τοῦτο τοίνυν λέγεται βίσεξτον, ἡνίκα ἔχει ὁ Φεβρου | άριος ἡμέρας κθ διὰ τὸ λέγεσθαι δὶς τὸ πρὸ ς καλενδῶν Μαρ- 61r τίων. ἑορτάζετο τοίνυν ἡ νεομηνία εἰς τιμὴν Ἥρας, ἥτις ἐστὶ σελήνη, αἱ δὲ εἶδοι εἰς ὄνομα Διός, τοῦτ᾽ ἔστι τοῦ ἡλίου:

---

2 ἰαννουαριαις    7 εἰδῶν    15 φεβρου. εἶτα sic

### Περὶ γενέσεως ἀνθρώπου· καὶ ὅθεν τρίτα ἔνατα καὶ τεσσαρακοστὰ ἐπιτελοῦνται τοῖς τεθνεῶσιν

Τὸ σπέρμα ἐν τῇ μήτρᾳ καταλαμβανόμενον ἐπὶ μὲν τῆς
τρίτης ἡμέρας ἀλλοιοῦται εἰς αἷμα καὶ ὑποζωγραφεῖται ἡ καρ-
δία· ἐπὶ δὲ τῆς ἐνάτης πήγνυται εἰς σάρκα καὶ συγγλοιοῦται
εἰς μυελούς· ἐπὶ δὲ τῆς τεσσαρακοστῆς εἰς ὄψιν τελείαν δια-
τυποῦται. ὁμοίως κατὰ ἀναλογίαν τῶν ἡμερῶν καὶ ἐπὶ μηνῶν·
τῷ μὲν τρίτῳ| μηνὶ κινεῖται ἐν τῇ νηδύι, τῷ δὲ ἐνάτῳ μηνὶ 61v
ἀπαρτίζεται καὶ πρὸς ἔξοδον σπεύδει. θῆλυ δὲ καὶ ἄρρεν γίνε-
ται κατὰ τὴν ἐπικράτειαν τοῦ θερμοῦ· πλεονάζοντος μὲν τοῦ
θερμοῦ τοῦ κατὰ τὸ σπέρμα τῆς πήξεως ταχείας γινομένης
ἀρρενοῦται τὸ βρέφος, ἐλαττούμενον δὲ κατισχύεται ὑπὸ τῆς
ἐπιρροῆς καὶ θηλύνεται, βράδιον δὲ πηγνύμενον βράδιον καὶ
διαμορφοῦται· ὅθεν τὰ μὲν ἄρρενα καὶ ἐντὸς τῶν τεσσαράκοντα
ἡμερῶν ἐκτιτρωσκόμενα μεμορφωμένα ἐκπίπτει, τὰ δὲ θήλεα
καὶ ἐντὸς τῶν τεσσαράκοντα σαρκώδη καὶ ἀδιατύπωτα εὑρί-
σκονται. ἔστι δὲ βοτάνη| ἀρρενογόνος καὶ θηλυγόνος· καὶ τὸ 62r
μὲν ποιεῖ ἄρρενα, τὸ δὲ θήλεα πινόμενα πρωῒ τριόβολα. εἴπω-
μεν οὖν καὶ περὶ ἀναστοιχειώσεως. τελευτῶν μὲν γὰρ ἄνθρωπος
τῇ τρίτῃ ἀλλοιοῦται καὶ τὴν διάγνωσιν τῆς ὄψεως ἀπόλλυσι, τῇ
δὲ ἐνάτῃ διαρρεῖ τὸ σύμπαν, σωζομένης τῆς καρδίας, τῇ δὲ τεσ-
σαρακοστῇ καὶ αὐτὴ συναπόλλυται τῷ παντὶ σώματι. διὰ τοῦτο
τρίτα ἔνατα καὶ τεσσαρακοστὰ ἐπιτελοῦνται τοῖς τεθνεῶσιν:

### Περὶ ποσότητος τῶν τικτομένων

Ἐπειδὴ περὶ γενέσεως εἴπομεν, οὐ πόρρω τοῦ πρέποντος
οἶμαι φάναι καὶ περὶ ποσότητος τῶν τικτομένων. λέγουσι γὰρ|
πεμφθῆναι γυναῖκα Αἰγυπτίαν πρὸς Ἀδριανόν, ἣ καὶ διηγή- 62v
σατο αὐτῷ τετοκέναι πέντε παῖδας· τοὺς μὲν τέσσαρας ἐν τέσ-
σαρσιν ἡμέραις, μετὰ δὲ τεσσαράκοντα ἡμέρας τὸ πέμπτον
παιδίον. Ἀριστοτέλης δέ φησιν ἐν τέσσαρσι τοκετοῖς εἴκοσι
παῖδας γεννηθῆναι. Ἡρακλείδης δὲ φυσιολογῶν τὸν τοιοῦτον
τοκετὸν λέγει συμβαίνειν, ὅταν ὁ ἐξακοντισμὸς δὶς ἢ τρὶς ἀπὸ

---

5 συγγλυοῦται 17 ἀρρεγνογόνος 18 πιν.—τρ. non intellego
21 supra ἐνάτηι alterum ν rec. m. 22 δια 25 γεννέσεως

Digitized by Google

ἐγκρατείας κατὰ ἀναστόμωσιν εὐστοχήσῃ, ἢ καὶ τῆς μήτρας ἐπενεχθείσης μετὰ τὴν προτέραν πῆξιν κατὰ τοσοῦτον καθ' ὅσον ὁ τοκετὸς ἀριθμοῖτο:

Περὶ Ἴστρου τοῦ ποταμοῦ

Οὗτος ὁ ποταμός ἐστιν ὁ λεγό|μενος Φησὼν παρὰ τῇ 63r
θείᾳ γραφῇ, καὶ ἐκ τοῦ παραδείσου ἐξερχόμενος ὥσπερ καὶ οἱ λοιποί· Τίγρης, Εὐφράτης καὶ Γηών, καὶ ὑποδὺς τοῖς μυχοῖς τῆς γῆς καὶ εἰς δύσιν ἀπερχόμενος ἐκδιδοῖ τοῦ Ἀπεννίνου ὄρους τοῦ διήκοντος ἀπὸ τῆς Σικελικῆς θαλάσσης ἕως τῶν Γερμανῶν τῶν πρὸς τὸν βορέα ὠκεανῷ σύρεται πρὸς ἀνατολὴν καὶ χέει εἰς τὸν Εὔξεινον πόντον διὰ πέντε στομάτων. οὗτος ἐν τῇ ἀνατολῇ ὀνομάζεται Γάγγης, ἀλλάσσει δὲ τὸ ὄνομα ἐν τῇ δύσει Ἴστρος προσαγορευθεὶς καὶ ὑπὸ Θρᾴκων Δανούβιος πάλιν
καλούμενος, δι' ἣν αἰτίαν, προϊόντες εἴποιμεν.|καὶ οὗτος μὲν 63v
μέγιστός ἐστι ποταμῶν, ἀλλὰ καθ' ἑαυτὸν μὲν ἥττων τοῦ Νείλου· ὑποδεχόμενος δὲ τοὺς εἰσρέοντας ἐν αὐτῷ μείζων καὶ τοῦ Νείλου γίνεται. δεκαεπτὰ γὰρ ποταμοὶ εἰσβάλλουσιν ἐν αὐτῷ· εἰσὶ δὲ οὗτοι· ἐκ μὲν Σκυθίας πέντε· Παράτας, ὁ καὶ Πυρετός· Τιάραντος· Ἄραρος· Νάπαρις· Ὀρδησσός, ἐκ δὲ Ἀγαθύρσων Μάρις, ἐκ τοῦ Αἵμου τρεῖς· Ἄτλας· Αὔρας· Τίβισις, ἐκ δὲ τῶν Θρᾴκων τῶν Κρωβίζων τρεῖς· Ἄθρυς· Νόης καὶ Ἀρτάνης, ἐκ δὲ Παιόνων καὶ ὄρους Ῥοδόπης Κίος ποταμὸς μέσον σχίζων τὸν Αἷμον, ἐκ δὲ Ἰλλυριῶν ὀρῶν τὸν πρὸς βορρᾶν ἄνεμον βάλ-
λων εἰς τὸ Τριβολλικὸν|πεδίον Ἄγγρος ἐκχέει εἰς τὸν Βρόγ- 64r
γον, ὁ δὲ Βρόγγος εἰς τὸν Ἴστρον, ἐκ δὲ τῆς χώρας τῶν Ὀμβρικῶν Κάρπις καὶ Ἄλπις. εἰσβάλλουσι δὲ καὶ ἕτεροι εἰς αὐτόν, ἐξ ὧν γίνεται πάντων ποταμῶν μέγιστος. ἴσως δὲ ῥεῖ αὐτὸς ἑαυτῷ ἐν θέρει καὶ χειμῶνι, ὅτι ὀλίγον βρέχεται αὕτη ἡ γῆ, νιφετῷ δὲ πάντα χρᾶται. ἐν θέρει δὲ ἡ ἐν τῷ χειμῶνι πεσοῦσα χιὼν πολλὴ τηκομένη πάντοθεν εἰσβάλλει τῷ Ἴστρῳ· ὅσον δὲ ὕδωρ ὁ ἥλιος ἐφέλκεται ἐν τῷ θέρει ἢ ἐν τῷ χειμῶνι, τοσοῦτον τὰ συμμισγόμενα τῷ Ἴστρῳ πολλαπλάσιά ἐστι τοῦ

1 ἡ et ita saepe 2 ἐπανυχθείσης πῆξιν in marg. eadem m., in textu πτύξιν 9 γερμανων 12 ἀλάσσει 13 θρηκῶν 21 θρακῶν 23 βορᾶν 24 παιδίον

Digitized by Google

θέρους ἢ τοῦ χειμῶνος· ἀντιτιθέμενα δὲ ταῦτα ἀντισήκωσις
γίνεται ὡς ἀεὶ ἴσον αὐτὸν εἶναι ἑαυτῷ. οὗτος δ|Ἴστρος τὴν 64v
ἰδίαν προσηγορίαν φυλάσσει ἕως Σιρμίου τῆς πάλαι Ῥωμαίων
εὐδαίμονος πόλεως, ἔσχατον δὲ ὑπὸ Γηπαίδων οἰκουμένης,
ἀποβάλλει μέντοι παρὰ τοῖς ἐπιχωρίοις τὸ ἔμπροσθεν ὄνομα,
Δανούβιος μετακληθείς. οὕτως γὰρ αὐτὸν οἱ Θρᾷκες ἐκάλεσαν,
διότι εἰς τὰ πρὸς ἄρκτον καὶ θρασκίαν ὄρη συννεφὴς ὁ ἀὴρ
ὢν ἐκ τῆς ὑποκειμένης τῶν ὑγρῶν ἀμετρίας αἴτιος αὐτοῖς συνε-
χοῦς ἐπομβρίας νομίζεται· Δανούβιον δὲ τὸν νεφελοφόρον ἐκεῖ-
νοι καλοῦσι πατρίως. ἐντεῦθεν μεταβέβληκεν ὁ Ἴστρος τὴν
ἑαυτοῦ ὀνομασίαν, Δανούβιος μετακληθείς· οὐδὲν δὲ θαυμα-
στόν, εἰ ὁ Ἴστρος ἐξορμώμενος τοῦ Παρα|δείσου καὶ παρὰ τῇ 65r
γραφῇ καλούμενος Φησὼν ἐκ τοῦ τῆς δύσεως ὄρους, λέγω δὴ
τοῦ Ἀπεννίνου, φαίνεται ἀναβρύων. καὶ γὰρ καὶ ὁ Νεῖλος ὁ λεγό-
μενος Γηὼν ἐκ τοῦ αὐτοῦ Παραδείσου προϊὼν μίαν μὲν πηγὴν
ἔχει εἰς Λιβύην, ἑτέρας δὲ δύο εἰς τὴν ἄνω Αἰθιοπίαν κατὰ
νότον· ὧν μισγομένων πλημμύρει αὐτοῦ καὶ ποτίζει τὴν Αἴ-
γυπτον Αὐγούστῳ μηνί. καὶ τοῖς μὲν πολλοῖς δοκεῖ ἀπορίας
πολλὰς τίκτειν, πῶς ἐν καιρῷ αὐχμώδει πλημμύρει· ἡνίκα
λειψυδρία ὑπάρχει τῷ παντί. τοῖς δὲ τὰ τῆς γραφῆς ἀσκοῦσιν
οὐδεμίαν τίκτει ἀμφιβολίαν· ὅθεν καὶ παρὰ τοῖς ἱεροτελεσταῖς
τῶν Αἰγυπτίων ὡς ἐρευνῶσι τὰ κρύφια Ἀστά|πους ὀνομάζεται, 65v
ὃ ἑρμηνεύεται κατ' Αἰγυπτίους ἐκ σκότους ὕδωρ διὰ τὸ ἄδηλον
τῆς ἀναδόσεως αὐτοῦ ἀπὸ τῆς γῆς. οἱ γὰρ μὴ ταῦτα περὶ
αὐτοῦ δοξάζοντες εἰς μυρίας ἐμπίπτοντες ἀπορίας μένουσιν ἕως
τέλους τῆς ἀληθείας ἀποπλανώμενοι.

Καὶ μέντοι καὶ περὶ Τίγριδος καὶ Εὐφράτου τὸ αὐτὸ
δοξάζεται. ἐκ τοῦ Παραδείσου γὰρ ἑκάτεροι τὴν γέννησιν
ἔχοντες ὑποδύντες τὴν γῆν ἀναφαίνονται κατὰ τὸν Ταῦρον τὸ
ὄρος. καὶ ὁ μὲν Εὐφράτης δήλην ἔχει τὴν ἀνάβλυσιν· κατιὼν
δὲ ἐκ τῶν βορείων μερῶν πρὸς τὰ νότια πλησιάζων τῷ Περ-
σικῷ κόλπῳ ἕλη ἐμποιεῖ καὶ καλαμώδη|τέλματα καὶ περὶ 66r
αὐτὰ εἱλούμενος ἀδήλως ἀφανίζεται. ὁ μέντοι Τίγρης ἀπὸ

4 ὑπο 6 θράκες 10 καλοῦσιν 29 ὑποδῦντες

τινος λίμνης λεγομένης Θωνίτιδος ἀδήλως ἐξιὼν καὐτὸς οἴχε-
ται πρὸς τὰ νότια μέρη καὶ διακόπτων Ταῦρον τὸ ὄρος περὶ
Μασσαβάτας ἑνοῦται τῷ Εὐφράτῃ καὶ διασχίζων τὴν Βαβυ-
λῶνα καὶ κατιὼν πλησίον Τερηδόνος εἰσβάλλει εἰς τὸν Περσι-
κὸν κόλπον. πρὸ τοῦ δὲ ἑνωθῆναι τῷ Εὐφράτῃ ἀμφότεροι
ἀλλήλων διῃρημένοι ῥέοντες ποιοῦσι τὴν λεγομένην Μεσοπο-
ταμίαν, ἔχουσαν πλάτος ἀπὸ Εὐφράτου μέχρι Τίγριδος μίλια
υ̅κ̅η̅ καὶ στάδια δ̅ κατὰ τὴν ἀναμέτρησιν Ἐρατοσθένους, τοῦ|
πολυμαθεστάτου. 66v

Ἐπεὶ δὲ τὴν ἀρχὴν ἐκ τοῦ Ἴστρου ποιησάμενοι ὠλισθή-
σαμεν καὶ περὶ τοῦ Νείλου εἰπεῖν, οὐκ ἄκαιρον ἡγούμεθα καὶ
ἑτέρου μνησθῆναι κεφαλαίου καταλλήλου ὑπάρχοντος τῇ περὶ
τῆς ἐκροίας αὐτοῦ· κατὰ τὸν καιρὸν γὰρ τῆς ἀνόδου τοῦ Νεί-
λου ἀνοίγνυσαν οἱ Ῥωμαῖοι τὰ μεγάλα τῶν δημοσίων λουτρῶν·
καὶ διότι ἡ ἀνάχυσις αὐτοῦ γίνεται ἡλίου ὄντος ἐν λέοντι, τοὺς
κρουνοὺς τῶν ὑδάτων αὐτῶν λεοντοειδεῖς ἐποίουν· ὅθεν ἐξ
ἐκείνου ἐπεκράτησεν· καὶ τῶν ὑποληνίων τοὺς κρουνοὺς λεοντο-
προσώπους κατασκευάζουσιν, ὅτι ἡ τοῦ οἴνου ἀπόρροια μιμεῖ-
ται τὴν τοῦ Νείλου χύσιν|καὶ ὅτι ἐν τῇ τρύγῃ ὁ ἥλιος τὴν 67r
πάροδον αὐτοῦ ἐν τῷ λέοντι ποιεῖται κατὰ τοὺς εὐκράτους
τόπους:

Περὶ πιπέρεως

Ἡ γένεσις τοῦ πιπέρεως κατὰ τοὺς παλαιοὺς καὶ Κτη-
σίαν τὸν Κνίδιον τοιαύτη· ἔθνος ἐστὶ κατὰ τὴν Ἀζούμην, Βησ-
σάδαι τοὔνομα, σώματι σμικροῖς καὶ ἀδρανεστάτοις κεχρημένοι
κεφαλαῖς μεγάλαις καὶ ἀκάρτοις καὶ παρὰ τὴν Ἰνδῶν φύσιν
ἀπλόθριξιν· σπηλαίοις δὲ ἐνοικοῦσιν ὑπογείοις καὶ κρημνοβα-
τεῖν ἐπιστάμενοι διὰ τὴν τοῦ τόπου συντροφίαν. οὗτοι ἀπὸ δεν-
δρυφίων κολοβῶν ταῖς θάμνοις παραφυομένων τῷ πέπερι δρε-
πόμενοι συνάγουσιν.|ὁ δὲ Μάξιμός φησι φυτὸν εἶναι ἐν τῇ 67v
Ἰνδίᾳ ἀνάκανθον, φυτουργούμενον δὲ ὡς ἄμπελος φέρει καρ-
πὸν βοτρυώδη ὡς τερέβινθος, ἔχει δὲ φύλλον κισσῶδες ὑπό-
μακρον. φυτευόμενον δὲ τριετὲς ἄρχεται καρπεύειν, θνήσκει

3 διὰ σχ. 30 φησίν

Digitized by Google

δὲ ἑκατέρας τρυγητὸν δέ. εἰ μὲν ἐν τῷ ἡλίῳ τρυγηθῇ, μελαίνεται. εἰ δὲ γένηται σκιόφυκτον, λευκαίνεται:

Περὶ θ καὶ ☾

Φασὶ τὴν ☾ μείζονα εἶναι τῆς γῆς· ἐννεακαιδεκαπλασίως ἀφίσταται δὲ ἀπ' αὐτῆς σταδίοις μυριάσιν ἑβδομηκονταοκτώ, τὸν δὲ θ ἀφίστασθαι ἀπὸ τῆς γῆς τετρακοσίαις καὶ ὀκτακισμυρίαις· τὸ δὲ φαινόμενον αὐτῆς μέλαν, ὅ τινες καλοῦσι πρό- 66r σωπον, οὐδὲν ἄλλο ἐστὶν ἢ μεμιγμένος ἀήρ, ὃς φύσει μέλας ἐστίν, ὃς ἄχρις αὐτῆς τείνεται:

Περὶ σεισμῶν

Φασὶν οἱ ταῦτα ἐρευνήσαντες καὶ περὶ αὐτῶν φιλοσοφήσαντες, ὡς τὸ ὑπόγαιον πῦρ διεργαζόμενον καὶ ἐξαραιοῦν τὴν ἐν βάθει γῆν παρασκευάζει σεισμόν. καὶ γὰρ ἡ δαπάνη τῆς γῆς πνεύματός ἐστι ποιητική· ἀναλισκομένου γὰρ τοῦ χοὸς ἀνάγκη κούφην γίνεσθαι τὴν χώραν καὶ πληροῦσθαι πνεύματος. καὶ γὰρ ἡ τῶν σεισμῶν γένεσις πνεύματός ἐστι διὰ σηραγγώδους γῆς κίνησις τοῦ καταγαίου πυρὸς ποιοῦντος τὴν ἐξαραίωσιν κατὰ πρῶτον λόγον· κατὰ δεύτερον δὲ ἡ τῆς θαλάσ- 68v σης εἰς τοὺς σηραγγώδεις τόπους ἐπιδρομή· ὅθεν χειμῶνι διὰ τὴν ἐπομβρίαν πληθυνομένου τοῦ ὕδατος γίνεται σεισμός· καὶ ἐν θέρει ἐλλείποντος τοῦ ὑγροῦ καὶ πληθυνομένου τοῦ πνεύματος. καὶ γὰρ τὸ ἐν χειμῶνι ὕδωρ πιλοῦν τὴν γῆν εἰς τὸ βάθος ἀπωθούμενον τὸ πνεῦμα ἀρχὴν αὐτῷ θλίψεως παρασκευάζει. ἡ δὲ ἀνομβρία ἡ ἐν θέρει διὰ τοῦ πνεύματος ποιεῖ κίνησιν. τῶν δὲ σεισμῶν οἱ μέν εἰσιν ἐπικλινίαι, οἱ δὲ βράσται, οἱ δὲ σεῖσται, οἱ δὲ ῥῆκται, οἱ δὲ ἰζηματίαι. καὶ ἐπικλινίαι μὲν οἱ κυματηδὸν ἐπὶ τὰ πλάγια σείοντες, βράσται δὲ | οἱ τινάσσοντες καὶ σείοντες 69r ἄνω καὶ κάτω. σεῖσται δὲ οἱ τρόμον τινὰ τῆς γῆς καὶ σύμπτωσιν τῶν δεδονημένων ἐργαζόμενοι· ῥῆκται δὲ οἱ τὰς καταπόσεις καὶ τὰ χάσματα διαπηδώσης τῆς γῆς ἀποσχίζοντες· ἐξ ὧν ἀναβάλλονται ἢ πνεῦμα, ἢ ὕδωρ καὶ πηλός, ἢ μυκήματα. τὰ δὲ μυκήματά ἐστιν, ὅτε καὶ χωρὶς ῥήξεων γίνονται πιλουμένου τοῦ πνεύματος καὶ μεταπίπτοντος, ὥσπερ ῥηγνυμένων τινῶν

---

3 θ posui pro signo solis  5 μυριᾶσιν  15 πληρουσθαι  18 κατα δ. 22 πηλοῦν  30 ἀπὸ σχ.

Digitized by Google

ὡς εἰκὸς ὑπὸ γῆν πετρῶν· ἰζηματίαι δὲ οἱ τοῖς κυλώμασι τὴν ὑπερ-
κειμένην ἐγκαθίζοντες γῆν· συμβαίνουσι δὲ ὡς πλείονος ἐν ἔαρι ἢ
μετοπώρῳ, καὶ νηνεμίᾳ μᾶλλον ἢ ἀνέ|μων φορᾷ περὶ πλειάδος 69v
καὶ ἀρκτούρου ἐπιτολήν· καὶ ταῦτα μὲν ἄν τις πρὸς τὰς φυσι-
κὰς ἐννοίας ἀφορῶν εἰκάζοι· προνοίᾳ δὲ ὅμως καὶ ἐπισκοπῇ
τῆς δίκης πάντα γίνεται. ὅθεν οὐ μόνον αὐτοὶ καθ' ἑαυτοὺς
οἱ σεισμοὶ βλάπτουσι τοὺς τόπους, καθ' οὓς συμβαίνουσιν, ἀλλὰ
μὴν καὶ ἄλλων τόπῳ καὶ χρόνῳ πόρρω μεριζομένων γίνονται
μηνυταὶ οὐ μετρίων κακῶν:

## Περὶ σκηπτῶν

Τοὺς σκηπτοὺς οἱονεὶ κεραυνοὺς λέγουσι γίνεσθαι, ὅταν
ῥῆξις νεφῶν γίνηται· τῆς γὰρ παρακειμένης αὐτοῖς γεώδους
οὐσίας ἐξαφθείσης, τὸ ἐξαφθὲν ὑπὸ τῆς ῥιπῆς μετὰ ῥοίζου
φέρεται. καὶ ἐὰν|μὲν ὑγρὰ τυγχάνῃ ὄντα τὰ νέφη, ἅμα τῇ 70r
καταφορᾷ σβέννυται· εἰ δὲ γεωδέστερα, πυροειδεῖς ἐκθλίβον-
ται. δύο δὲ εἴδη κεραυνῶν εἶναί φασιν· ὧν ὁ μὲν ὀξὺς καὶ
μανὸς καὶ διάπυρος, ὀνομαζόμενος ἀργής, ὁ δὲ βραδὺς καὶ
καπνώδης ψολόεις· καὶ ὁ μὲν διὰ τὴν λεπτότητα καὶ πρὶν ἐκ-
πυρῶσαι φερόμενος οἴχεται διὰ τάχους, ὡς μηδὲ φλέξαι τι
τῶν ἀραιοτέρων, ὁ δὲ βραδύτερος ἱκανὸς μὲν ἐπιχρῶσαι ὡς
ἀπὸ αἰθάλης καὶ καῦσαί τινα τῶν ὑποπεσόντων, βολβῶν καὶ
συκῆς καὶ φώκης καὶ ὑαίνης μενόντων ἀβλαβῶν, ὧν καὶ ταῖς
δοραῖς περιδιφθεροῦνται τὰ|τῶν αὐτοκρατόρων πλοῖα: 70v

## Περὶ πυρόεντος κεραυνοῦ

Προέφθημεν εἰς τὸ σ̄ στοιχεῖον εἰπόντες περὶ σκηπτῶν
καὶ ἐλλιπῶς αὐτὸ εἰρηκότες, νῦν τελεώτερον καὶ ἀκριβέστερον
δεῖν ᾠήθημεν ἐμφῆναι, καὶ μάλιστα περὶ πυρόεντος. τῶν τοίνυν
κεραυνῶν εἴδη ἐστὶ πέντε· ψολόεις, πυρόεις, ἐκνεφίας, ἀργὴς
καὶ ἑλικίας. καὶ ὁ μὲν ψολόεις βραδὺς καὶ καπνώδης, ὥστε
καὶ ἐπιχρώννυσι τὰ σώματα καθ' ὃν ἐπισκήψειεν· γεννᾶται δὲ
ἐξ ὑγρῶν νεφῶν. οὗτος δὲ καὶ καίει σώματα. ὁ δὲ πυρόεις
ὁ λεγόμενος ἀργής, ὃν καὶ λαμπρὸν ἐξαιρέτως καλοῦσιν οἱ
ἀρχαῖοι, ἔστιν ὀξὺς καὶ μανὸς καὶ γεν|νᾶται ἀπὸ γεωδεστέρας 71r
οὐσίας. διὰ τοῦτό ἐστι καὶ δυνατὸς καὶ οὐδὲν αὐτὸ ἀνθίσταται

---

4 καῖ 5 ἐπισκοπή 17 ἀργης 19 δια 21 βόλβων 24 περὶ δ. 30 ἐπὶ χ.

καὶ πολλάκις ἐμπεσὼν εἰς πίθον ἢ εἰς ἄλλο ἄγγος τὸ μὲν ἀγγεῖον διεφύλαξεν ἀβλαβές, τὸ δὲ ἔνδον ἐποίησεν ἀφανές, διὰ γὰρ τὴν ἄγαν αὐτῷ προσοῦσαν ξηρότητα λεληθότως καὶ ταχὺ ἀνιμήσατο τὸ ἔνδοθεν ὑγρόν· ἀλλὰ καὶ ἐν σκεύεσι χρυσίον ἢ ἀργύριον ἐνὸν τὸ μὲν ἔνδον ἔτηξεν ὡς ἀνθιστάμενα καὶ λίαν πυκνά· τὰ δὲ ἔξω διέσωσεν ἀπήμαντα. φασὶ δέ τινες, ὡς καὶ γυναικὶ ἐγκύμονι ἐνσκήψας αὐτὸς ὁ λεγόμενος ἀργὴς αὐτὴν μὲν ἐφύλαξεν ἀβλαβῆ, τὸ δὲ ἐν αὐτῇ βρέφος διε|φθόρησεν 71v οὕτως ἀνεπαισθήτως, ὡς μηδὲ συνιδεῖν αὐτὴν ὅτι γέγονε τὸ ἐν αὐτῇ. τοιαύτην ἐνέργειαν τοῦ ἀργῆτος εἴληχεν ἡ φύσις.

Εἴπωμεν δὲ πάλιν καὶ περὶ τῶν φυλασσομένων ἀπὸ κεραυνῶν, ἐν μὲν φυτοῖς δάφνη καὶ συκῇ· μυθικῶς δὲ καθηδύνωμεν τὸν λόγον· καὶ γὰρ ἡλίου ταῦτά φασιν εἶναι. ὅθεν καὶ δάφνην φιλεῖν Ἀπόλλων μυθεύεται, οἷον ὁ ἥλιος· καὶ εἰς λέοντα μεταβάλλεται καὶ οὐ φθείρει τὴν δάφνην. ἐν δὲ πτηνοῖς ἀετός, ἐν δὲ νηκτοῖς φώκη· ὅθεν καὶ κεραυνοφόρος ὁ ἀετὸς καὶ Διὸς εἶναι νενόμισται. οὐ πλέον δὲ πέντε ποδῶν κατακρύπτεσθαι|κεραυνὸς εἰς γῆν πέφυκεν, ἐξωθούμενος ἄνωθεν· ἔστι 72r δὲ ὅτε καὶ ὑπ' αἰθρίῳ τῷ ἀέρι πίπτουσι κεραυνοί· ὅπερ εἰ συμβαίη, βλάβην κοινὴν σημαίνει. φασὶ δὲ καὶ τοῦτο, ὧν ἐστι καὶ Νιγίδιος ἐν τῇ τῶν ὀνείρων ἐπισκέψει· φησὶ γὰρ πᾶσι μὲν ἀπευκταίαν εἶναι τὴν φορὰν τῶν σκηπτῶν, κἂν μὴ τυχὸν βλάπτοιεν, τοῖς δὲ ὄναρ τουτὶ πάσχειν φανταζομένοις αἰσιώτατον καὶ λαμπρᾶς τύχης ἐστὶ προμάντευμα.

Ὡς ἂν δὲ μὴ ἀτελὴς ᾖ ἡ περὶ κεραυνῶν διδασκαλία, δεῖ καὶ περὶ καιρῶν αὐτῶν καὶ τόπων διαλαβεῖν. οὐδὲ γὰρ ἐπὶ θέρους οὐδὲ ἐπὶ χειμῶνος πίπτουσιν,|ἀλλ' ἔαρι ἢ φθινοπώρῳ· 72v ὅθεν διὰ τὸ εἶναι χειμέριον τῆς Σκυθίας τόπον καὶ ἄγαν θερμὰ τὰ νότια οὔτε ἐν Σκυθίᾳ οὔτε ἐν τοῖς νοτίοις μέρεσιν ἐμπίπτει σκηπτός, ἐπὶ δὲ τῆς Ἰταλίας ὡς μάλιστα· εὔκρατος γὰρ ὑπὲρ πάντα χῶρον αὕτη γινώσκεται, ὅθεν δὶς τὰ θρέμματα κατὰ χρόνον ἐκεῖσε τίκτουσι καὶ τυρὸς οὐδὲ ἐν θέρει οὐδὲ ἐν μετοπώρῳ λείπει:

3 αὐτὸ   7 ἐν κύμονι   12 καθ' ἡδ.   24 πρὸ μ.   27 φθινοπόρωι   32 τίκτουσιν

Digitized by Google

Ἐκ τῶν περιηγητικῶν τὰ χρειωδέστερα καὶ σαφηνέστερα τοῦ Διονυσίου

Εἰς πόσα μερίζεται ὁ ὠκεανὸς πελάγη

Εἰς δ· εἰς τὸ Ἀτλαντικόν, Κρόνιον τὸ καὶ νεκρόν, Ἰνδικόν, Ἐρυ|θραῖον τὸ καὶ Αἰθιοπικόν: 73r

Περὶ τῶν δ κόλπων

α ἀπὸ τῆς δυτικῆς θαλάσσης ἕως Παμφυλίας· β ἀπὸ τῆς Κρονίας θαλάσσης εἰς τὴν Κασπίαν τὴν καὶ Ὑρκανίαν· γ ὁ Περσικὸς κόλπος κατέναντι τῆς Κασπίας· δ ὁ Ἀραβικός:

Περὶ τομῆς τῆς δυτικῆς θαλάσσης

α ἀπὸ τῆς δύσεως ἀρχόμενος πόντος ὁ Ἰβηρικός· β ἐχόμενος τούτου ὁ Γαλατικός· γ ἐφεξῆς ὁ Λιγυστικός· δ ἐφεξῆς τούτου πρὸς νότον ὁ Κυρνικός· ε τούτου νοτιώτερος Σαρδῷος· ϛ ἐχόμενος τούτου πρὸς νότον Τυρρηνικός· ζ ἀνατολικώτερος τούτου κυρτὸς ἐπιστρεφόμενος ὁ Σικελικός· η ὁ Κρητινός· θ Ἀδριατικός·| ι Σιδόνιος· ια Ἰσσικός· ιβ Αἰγαῖον 73v πέλαγος:

Περὶ τῆς ἠπείρου Λιβύης

Ἡ Λιβύη ἄρχεται ἀπὸ Γαδείρων καὶ λήγει εἰς Αἰθιοπίαν γῆν τῶν Ἐρεμβῶν:

Ὅτι Νεαπόλεις εἰσὶ δ

τῆς Ἀφρικῆς· τῆς Καμπανίας· τῆς Συρίας· τῆς Αἰτωλίας:

Τὰ ζ στόματα τοῦ Νείλου

Πηλουσιακόν· Ἡρακλεωτικόν· Θερμουτιακὸν ὃ καὶ Τανικόν· Βολβιτικόν· Σεβεννυτικόν· Παφνιτικόν· Μενδήσιον:

Ὅτι ἡ Θεσσαλονίκη Μακεδονίας οὖσα ἐν τῇ Μυγδονίᾳ κεῖται· ὁμοίως καὶ ἡ Ὠρωπὸς καὶ ἡ Κασάνδρεια· ᾠκίσθη δὲ ὑπὸ Κασάνδρου υἱοῦ Ἀντιπάτρου. οὗτος γὰρ Κασάνδραν| ἔσχε γαμετὴν θυγατέρα Φιλίππου τοῦ Ἀμύντου: 74r

Ὅτι καὶ εἰς τὸν Θερμώδοντα γίνεται κρύσταλλος καὶ ἴασπις:

---

2 σαφήνεια διονύσου 4 ἀταλτικόν 11 ἴβηριχος 12 ἐξεφῆς λυγιστικός 27 ωρωπός

Περὶ Ταρσοῦ

Ὅτι Ταρσὸς λέγεται ὡς πρώτη ξηρανθεῖσα μετὰ τὸν κατακλυσμόν· ἢ ὅτι ἐκεῖ ἔπεσεν ὁ τοῦ Πηγάσου ταρσός, ὅτε αὐτῷ ἐποχούμενος ὁ Βελλεροφόντης πρὸς οὐρανὸν ἀνήρχετο:

Στενὰ τῆς Ἀσίας

τὸ μεταξὺ Κασπίας θαλάσσης καὶ τοῦ Περσικοῦ κόλπου:|

Διὰ τί λέγεται κοίλη Συρία 74v

Ὅτι ἐν τῇ δύσει ἔχει ὄρος τὸ Κάσιον, ἐν δὲ τῇ ἀνατολῇ τὸν Λίβανον. καὶ οἱ μὲν ἠπειρῶται Σύροι, οἱ δὲ ἐγγὺς τῆς θαλάσσης Φοίνικες οἱ μέτοικοι τῆς Ἐρυθρᾶς:

Ὅτι τὸ κινάμωμον ἀπὸ ἀοικήτων νήσων κομίζουσιν ὄρνεα εἰς τὴν εὐδαίμονα Ἀραβίαν. φασὶ δὲ αὐτὸ ἔχειν βλαστὸν ἀμπέλῳ ὅμοιον· καὶ ἐάν τινι προσάξῃς, κλαυθμυρίζεται ὑπὸ ἡδονῆς, καὶ ἐὰν ἀποσπάσῃς, ἐπιτρέχει:

Ὅτι περὶ Βαβυλῶνα ἐν ταῖς εἰσόδοις τῆς Ὀφιήτιδος πέτρας γίνεται ἡ βήρυλλος:

Ὅτι οἱ Μῆδοι ἀπὸ Μηδείας τῆς θυγατρὸς τοῦ Αἰήτου κατάγονται:|

Κασπιάδων πυλῶν 75r

Ὅτι δύο πέτραι εἰσὶ δίκην πυλῶν ἢ δύο ὄρη:

Ὅτι τὸ κουράλλιον λίθος ἐστὶν ἄλλος παρὰ τὸν θαλάσσιον· ἐν τῇ παρακειμένῃ γῇ τῷ Ἰνδῷ ποταμῷ γίνεται καὶ ὁ σάπφειρος:

Ὅτι ἐν Ἰνδίᾳ τοῦ χρυσοῦ εἰσι μέταλλα καὶ ἐλεφαντουργεῖα πολλὰ ἐν αὐτῇ· καὶ ἐν τοῖς ποταμοῖς αὐτῆς εὑρίσκονται βήρυλλος καὶ ἀδάμας καὶ ἴασπις καὶ τόπαζος καὶ ἀμέθυσος ἡ πορφυρίζουσα:

Ὅτι ὁ Χοάσπης ἐκ τοῦ Ἰνδοῦ δέχεται αὐτοῦ τὸ ὕδωρ δι' ἀδήλων πόρων· καὶ μόνος ὁ βασιλεὺς πίνει ἐκ τοῦ ὕδατος αὐτοῦ καὶ ἐν ταῖς πλευραῖς αὐτοῦ λίθος εὑρίσκεται ὁ ἀχάτης:

Ὅτι αἱ Κυκλάδες νῆσοί εἰσιν ἑπτά·|Σίφνος· Κύθνος· 75v
Πάρος· Σέριφον· Νάξος· Ἀμουργός· Δῆλος:

---

6 post κόλπου pagina reliqua vacua, desunt septem lineae
32 σεριφον

Ὅτι εἰς Ταπροβάνης θάλασσάν εἰσι κήτη καταπίνοντα αὐτάνδρους νῆας:

Ὅτι αἱ Σποράδες νῆσοι δεκαὲξ ὑπάρχουσιν:

Ὅτι διὰ τριῶν μηνῶν φησι περᾶσθαι τὴν Ὑρκανίαν:

Ὅτι ἡ Κασπία θάλασσα φύει κρύσταλλον καὶ ἴασπιν ἀποτρεπτικὴν φασμάτων, λέγει δὲ καὶ ἐμπουσῶν:

* * *
* *

## Περὶ τῶν οὐρανίων

Σφαῖρά ἐστι σχῆμα ἐπίπεδον ἐπιφανείας, πρὸς ἣν ἀπό τινος σημείου τῶν ἐντὸς τῆς σφαίρας κειμένων, πᾶσαι αἱ πρὸς τὴν ἐπιφάνειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν· τὸ δὲ σημεῖον κέντρον καλεῖται | τῆς σφαίρας: 76r

Τί ἐστι κύκλος

Σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς περιφερείας περιεχόμενον, πρὸς ἣν τῶν ἀπό τινος τῶν ἐντὸς τοῦ κύκλου κειμένων σημείων ἅπασαι αἱ πρὸς τὴν περιφέρειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσιν· τὸ δὲ σημεῖον κέντρον καλεῖται τοῦ κύκλου:

Τί ἐστι σημεῖον

οὗ μέρος οὐθὲν ταὐτὸν τῇ στιγμῇ, ἣν πέρας ἢ ἀρχὴν μεγέθους ὁρίζονται· ἡ δὲ γραμμὴ μῆκος ἀπλατές, ὥσπερ ἐπιφάνεια μεγέθους ἀρχῇ διαστατὸν περί τε μῆκος καὶ πλάτος· τὸ δὲ στερεὸν μέγεθος τριχῇ διαστατόν· πλάτος, μῆκος, βάθος:

Τί ἐστι πόλος

Πόλος ἐστὶν ἐπὶ τῆς ἐπιφανείας | τῆς κινουμένης σφαίρας ἀνάλογον κέντρῳ κύκλου λαμβανόμενον: 76v

Τί ἐστιν ἄξων

Ἄξων ἐστὶ σφαίρας εὐθεῖα ἐπιζευγνυμένη ἀπὸ τοῦ πόλου ἐπὶ τὸ κέντρον τῆς σφαίρας καὶ ἐπὶ θάτερα ἐκβαλλομένη:

Τί ἐστι πέρας τοῦ ἄξονος

Πέρας τοῦ ἄξονός ἐστιν ὁ πόλος:

Πόσοι πόλοι

Πόλοι εἰσὶ δύο· ὁ μὲν καθ' ἡμᾶς βόρειος, ὁ δὲ ἀντίχθοσι καὶ ἀφανὴς νότιος:

---

1 τὰ βροβάνης   8. 14 προσὴν

Digitized by Google

Πόσοι κύκλοι παράλληλοι

Κύκλοι παράλληλοι πέντε· ἰσημερινοί, τροπικοὶ β̄, ἀρκτικοὶ β̄· ᾱ ἰσημερινὸς ὁ μέγιστος τῶν παραλλήλων, ἐφ' οὗ γινόμενος ὁ θ ἰσημερίαν ποιεῖ. β̄ θερινὸς τροπικός, ἐφ' οὗ ὁ θ γινόμενος θερινὰς ὡς|πρὸς ἡμᾶς ποιεῖται τροπάς· καὶ γρά- 77r
φεται διὰ καρκίνου μοιρῶν η̄. γ̄ χειμερινὸς δέ, ἐφ' οὗ γινόμενος χειμερινὰς ἐργάζεται τροπὰς περὶ μοῖραν αἰγοκέρωτος ὀγδόην. δ̄ ὅτι τῶν ἀρκτικῶν ὁ μέν ἐστι βόρειος καὶ ἀειφανὴς καθ' ἡμᾶς. ε̄ ὁ δὲ νότιος τὸ ἀφανὲς διορίζων ἀπὸ τοῦ φαινομένου:

Ὅτι ὁ ἰσημερινὸς ταύτην ἔλαχε τὴν ἐπωνυμίαν

Ἐπειδὴ πρὸς πᾶσαν οἴκησιν μένει ἰσημερινός, τῶν δὲ τροπικῶν ὁ μὲν ἡμῖν θερινὸς τοῖς ἀντίποσι χειμερινὸς γίνεται, ὁ δὲ ἡμῖν χειμερινὸς ἐκείνοις θερινός, τοῖς δὲ ὑπὸ τῷ ἰσημερινῷ οἰκοῦσιν οἱ δύο τροπικοὶ χειμερινοὶ τυγχάνουσιν, ἐπειδὴ|
μακρότατα ἀφίσταται αὐτῶν ὁ ἥλιος: 77v

Περὶ ἀνεγκλίτων καὶ κεκλιμένων τόπων

Ὅτι δύο τόποι εἰσὶν ἀνέγκλιτοι· ὁ ὑπὸ τῷ ἰσημερινῷ καὶ ὁ ὑπὸ τοῖς πόλοις· οἱ δὲ λοιποὶ πάντες ἐγκεκλιμένοι, οἱ μὲν πρὸς ἄρκτον, οἱ δὲ πρὸς μεσημβρίαν:

Πόσαι ζῶναι τῆς γῆς

Σφαιροειδοῦς τῆς γῆς οὔσης ζῶναι αὐτῆς εἰσι πέντε· εὔκρατοι μὲν δύο αἱ μεταξὺ τῶν τροπικῶν· ἀπὸ καρκίνου ἕως τοῦ βορείου πόλου, καὶ ἀπὸ τοῦ αἰγοκέρωτος τοῦ χειμερινοῦ τροπικοῦ ἕως τοῦ νοτίου πόλου. αὗται αἱ δύο ζῶναι μόναι οἰκοῦνται. δύο δὲ ζῶναι ἕτεραι κατεψυγμέναι ὑπὸ τοῖς δυσὶ πόλοις, αἳ καὶ ἀοίκητοι. μία|δὲ ἡ μέση τῶν τροπικῶν τοῦ χει- 78r
μερινοῦ καὶ θερινοῦ, λέγω δὴ ἡ ἀπὸ καρκίνου ἕως ὑδριχόου λεγομένη διακεκαυμένη καὶ αὐτὴ ἀοίκητος, ὥστε δύο μὲν ζῶναι οἰκοῦνται, τρεῖς δέ εἰσιν ἀοίκητοι:

Ὅτι εἰ μὴ ἦν σφαιροειδὴς ἡ γῆ, οὐκ ἂν προανατολαὶ καὶ προκαταδύσεις ἐγίνοντο

Ἀλεξάνδρου γοῦν ἐν Ἀρβήλοις παραταττομένου Δαρείῳ

---

4 ὃν  6 δια  12 ἀντείποσι  30 ἦν  οὐκὰν  32 ἐναρ.

ἡ ☾ ἐξέλιπε ζῳδίου μέγεθος ἀφεστῶσα τοῦ ὁρίζοντος· ἡ δὲ
αὐτὴ ἔκλειψις τοῖς ἐν Σικελίᾳ ὑπὸ τὸν ὁρίζοντα ἐγένετο:

### Ὅτι ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἕως τοῦ οὐρανοῦ δύο ἀστέρων ἐστὶ διάστημα

Οἱονεὶ ἕκτον μέρος ἐστὶ τοῦ ὁρίζοντος· ὁ γὰρ ὁρίζων ἔχει
ἄστρα δώδεκα, καὶ ἡ | διάστασις ἄστρα δύο. ἡ γὰρ τοῦ ἑξαγω- 78v
νου πλευρὰ λέγεται ἴση εἶναι τῇ ἐκ τοῦ κέντρου καὶ ἑκάστη
ἴση δυσὶ ζῳδίοις, καὶ οὐδὲν τὸ διαφέρον εἴτε ἐπὶ τῆς ὄψεως
λέγοιτο εἴτε ἐπὶ τοῦ κέντρου τῆς γῆς· ὡς διαφορούσης τῆς
ἐκ τοῦ κέντρου πρὸς τὴν ἐκ τῆς ἐπιφανείας τῆς γῆς ὄψιν:

### Περὶ ἀπλανῶν καὶ πλανητῶν

Ὅσα τῶν ἄστρων ἐκ τῶν αὐτῶν ἀεὶ τόπων τὰς ἀνατολὰς
ποιεῖται καὶ εἰς τοὺς αὐτοὺς καταδύσεις, ταυτὶ δὲ ἀπλανῆ κα-
λεῖται· ὅσα δὲ ἀμείβει τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ἐξ ἄλλων
τόπων εἰς ἄλλους, ταυτὶ δὴ πλανώμενα ἐπίκλην, οὐχ ὅτι πλα-
νᾶται· τεταγμένως γὰρ φέρονται· ἀλλ᾽ οἱ ἀρχαῖοι μὴ συνιέντες
αὐτῶν | τῆς τάξεως ἐκείνως ἐκάλεσαν, ἡμεῖς δὲ τῇ συνηθείᾳ 79r
ἑπόμενοι οὕτως καλοῦμεν, ὥσπερ καὶ τὰς ἐκλείψεις, καίτοι
σαφῶς εἰδότες οὐκ ἐκλείψεις οὔσας, ἀλλ᾽ ἐπιπροσθήσεις. καὶ
τῶν μὲν ἀπλανῶν τῶν σὺν τῷ παντὶ περιαγομένων τὰ μὲν
ἀκατονόμαστα ἡμῖν καὶ ἀπερίληπτα, ὡς καὶ Παρμενίδης ὁ
φυσικὸς εἴρηκεν. τὰ δὲ κατωνομασμένα ἕως ἐκ τοῦ μεγέθους
χίλιά εἰσι κατὰ τὸν Ἄρατον:

### Τίνες πρῶτον ἐξεῦρον ἀστρονομίαν

Οἱ μὲν Σύρους λέγουσιν, οἱ δὲ Χαλδαίους· ἕτεροι δὲ Αἰγυπτίους:

### Τίς πρῶτος ἤνεγκε σφαῖραν εἰς Ἑλλάδα

Ὅτι Εὔδοξον τὸν Ἀσσύριον λέγουσι | πρῶτον εἰς Ἑλλάδα 79v
κομίσαι σφαῖραν, ἣν δεῖ κρατεῖν τὸν ἐπιδεικνύντα τὰ φαινόμενα
καὶ ὅτι ἀριστερὰ λέγουσι τὰ δυτικά, δεξιὰ δὲ τὰ ἀνατολικά,
καθὼς καὶ Ὅμηρός φησιν· εἴτ᾽ ἐπὶ δεξί᾽ ἴωσι πρὸς ἠῶ τ᾽ ἠέλι-
όν τε· εἴτ᾽ ἐπ᾽ ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα:

θ

τὸν δὲ ἥλιον οἱ μὲν ὡρίσαντο τὸ πῦρ, οἱ δὲ μύδρον, ὡς

1 ἐξέλιπεν  18 επομενοι  19 οὐκεκλ.  24 ἐξ ἐῦρ.  27 ἤνεγκεν

Digitized by Google

Ἀναξαγόρας, καί φασιν αὐτὸν κυκλοτερῆ ὄντα ὀκτωκαιδεκαπλάσιον εἶναι τῆς γῆς:

☾

τὴν δὲ σελήνην σύγκριμα ἐκ πυρὸς καὶ ἀέρος. διὰ τοῦτο καὶ πάντων κατωτέρα τῶν ἀστέρων· οἱ δὲ κάτοπτρόν τι:

### Περὶ ἀποστάσεως τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς|

Τοσοῦτον τὸ ὑπὲρ γῆς μέρος τοῦ οὐρανοῦ ἀπέχει τῆς γῆς, 80r
ὅσον καὶ ἡ γῆ πρὸς τὸ ἕτερον αὐτῆς τέλος, τὸν καλούμενον τάρταρον· εἶτα ἐκ τοῦ μέρους ἐκείνου, τοῦ ταρτάρου, τὸ ὑπὸ τὴν γῆν ἄλλο μέρος τοῦ οὐρανοῦ πάλιν ὁμοίως διέστηκεν· ὁ γοῦν Ἡσίοδος φυσικευόμενός φησιν· Ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων Οὐρανόθεν κατιών, δεκάτῃ δ᾽ ἐς γαῖαν ἵκοιτο. εἶτα πρὸς τὸ ἴσον τὸ βάθος τῆς γῆς· Ἐννέα δ᾽ αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων Ἐς γαῖαν κατιών, δεκάτῃ δ᾽ ἐς τάρταρον ἵκοι. λοιπὸν δὲ καὶ ἀπὸ τοῦ ταρτάρου ἕως τοῦ ὑπὸ γῆν ἡμισφαιρίου διατεῖνον μέγεθος ἄλλο τοσοῦτόν ἐστιν, ὅσον τὸ τῆς γῆς βάθος,|ὥστε διὰ τριάκοντα ἡμερῶν τὰς δύο 80v
ἀρχὰς τοῦ ἄξονος δύνασθαι διανύσαι τὸν ἄκμονα. ἀπὸ ἀνατολῶν δὲ ἐπὶ δυσμὰς στρέφεται ὁ οὐρανός, ὁ δὲ ἄξων ἐστὶν ἀκίνητος· διήκει δὲ δι᾽ ὅλου τοῦ οὐρανοῦ καὶ τὴν γῆν ἑαυτῷ ἐμπεπαρμένην ἔχει καὶ ἔστιν αὐτὸς μὲν ἀκίνητος, ἐπ᾽ αὐτῷ δὲ ὁ οὐρανὸς κινεῖται καὶ καταφέρεται τῷ δοκεῖν ἐπὶ ὠκεανόν· τὸ δὲ δοκεῖν εἶπον, ἐπεὶ οὐκ ἀληθῶς, ἀλλὰ πρὸς τὴν ὑπόνοιαν οἱ ποιηταὶ ταῦτ᾽ εἶπον· Ἠέλιος δ᾽ ἀπόρουσε λιπὼν περικαλλέα λίμνην, τὸν ὠκεανόν. ἔστι γὰρ ὠκεανός, φασὶ καθ᾽ Ὅμηρον, ὃς πᾶσαν τὴν οἰκουμένην ἐμπεριέχει:

### Πόσοι κύκλοι τῆς σφαίρας|

Ἡ σφαῖρα ἔχει κύκλους πέντε· ὧν ὁ μὲν ἀρκτικὸς βόρειος· 81r
β̅ θερινὸς τροπικός· γ̅ ἰσημερινὸς τροπικός· δ̅ χειμερινὸς τροπικός· ε̅ ἀνταρκτικός. καὶ ὁ μὲν ἀρκτικὸς τὰς ἄρκτους περιέχει, ὃς καὶ βόρειος καλεῖται· ἐν γὰρ τῷ βορείῳ μάλιστά εἰσιν αἱ ἄρκτοι, καὶ ἡ καθ᾽ ἡμᾶς οἰκουμένη μᾶλλον βορειοτέρα

---

14 γαῖην  19 ἄξον  20 διόλου

Digitized by Google

ἐστίν. ὁ δὲ ἑξῆς κύκλος καλεῖται θερινὸς τροπικός, ὅτι ὁ κύκλος ἐκεῖνος μέσον τέμνει τὸν κάρκινον, ὃς πάντων τῶν ζῳδίων ἐστὶ βορειότερος, οὗ περὶ τὴν πρώτην μοῖραν κη̄ τοῦ Παϋνὶ γενόμενος ὁ θ θερινὴν ποιεῖται τὴν τροπήν. ὁ δὲ τρίτος ἰσημερινὸς τροπικός· τὴν γὰρ τῆς ἰσημερίας τροπὴν ἔχει. μέσον γὰρ τὸν κριὸν | τέμνει οὗτος ὁ κύκλος· γινόμενος οὖν τῇ κε̄ τοῦ Φαμενὼθ 81v ὁ θ περὶ ᾱ μοῖραν τοῦ κριοῦ ἴσην τὴν ἡμέραν καὶ τὴν νύκτα ποιεῖ. διὰ τί ποιεῖται οὗτος τὴν ἰσημερίαν; ἐπειδὴ μέσος τῶν πέντε κύκλων οὗτός ἐστιν ὁ κύκλος καὶ τὸ μεσότατον ἔχει τοῦ οὐρανοῦ, διὰ τοῦτο ὡς πρὸς τὰ βόρεια μέγεθος καὶ ἐπὶ τὰ νότια ἴσον ἔχων τὸ διάστημα ἴσην ποιεῖ τήν τε νύκτα καὶ ἡμέραν. ὁ δὲ τέταρτος κύκλος χειμερινὸς τροπικός· ἐπειδὴ γὰρ τέμνει μέσον τὸν αἰγόκερων. ὁ δὲ πέμπτος κύκλος ὁ καλούμενος ἀνταρκτικός· ἐναντίος γὰρ τῇ θέσει καὶ κατέναντι τοῦ ἀρκτικοῦ. ὁ δ' αὐτὸς καὶ νότιος· ἔστι γὰρ καὶ περὶ τὰ νότια· ὁ δὲ ἐν τοῖς νοτίοις οὐρανὸς | οὐκ ἔστι τοῖς ἀνθρώποις θεατός, ἀλλ' ὁ 82r βόρειος. καὶ γὰρ ἐν τῇ τῆς σφαίρας θέσει ἀφανής ἐστιν ὡς πρὸς τὴν τῆς σφαίρας ὀροφὴν γνωριζόμενος, ὅτι τὰ ὑπὸ γῆν μέρη ἐστὶν ὑπὸ τοῦ ὁρίζοντος. καὶ οὗτοι μέν εἰσιν οἱ παράλληλοι κύκλοι· παράλληλοι δὲ λέγονται κατὰ τοὺς γεωμέτρας. πλησίον μὲν ἀλλήλων οὔ γε μὴν ἑαυτῶν ἐπιψαύουσιν, ἀλλ' ὀλίγον ἀφεστήκασιν· δεῖ εἰδέναι, ὡς ἕκαστον ζῴδιον κατὰ μὲν μῆκος μοίρας ἔχει τριάκοντα, κατὰ δὲ πλάτος μοίρας δώδεκα:

Ὅτι τὸ ἡμισφαίριον ἀπὸ τῶν νοτίων ἐπὶ τὰ βόρεια ἔχει μοίρας ρπ̄, τῶν δὲ ιβ̄ ζῳδίων ἀνατολαὶ καὶ δύσεις εἰσί, καὶ ἕκαστον τῶν ζῳδίων δύο ὥρας ἐπέχει | ἀνατέλλον· ὡς τὰ μὲν ἓξ 82v ζῴδια ἀνατέλλειν τὴν ἡμέραν, τὰ δὲ ἕτερα ἓξ τὴν νύκτα:

Πόσοι γενικοὶ ἄνεμοι

Ἄνεμοι δὲ γενικοὶ πνέουσι τέσσαρες· ἀπὸ τῆς ἄρκτου ὁ βορέας, ἀπὸ μεσημβρίας ὁ νότος, ἀπὸ ἀνατολῆς ἀπηλιώτης, ἀπὸ δύσεως ζέφυρος· ἑκάστῳ δὲ τούτων δύο παράκεινται, ὡς εἶναι τοὺς πάντας δώδεκα:

---

2 καρκινον 3 μοιραν 10 δια 24 δια

Digitized by Google

Διὰ τί ἐπὶ τῶν ἄρκτων ἐποιήσατο τὴν ἀρχὴν ὁ Ἄρατος

Ἐποιήσατο δὲ τὴν ἀρχὴν ἀπὸ τῶν βορειοτέρων καθ' ὃ ὑψηλὰ ὄντα φανερά ἐστιν, ἢ διὰ τὸ εἶναι τὴν καθ' ἡμᾶς οἰκουμένην περὶ τὰ βόρεια· ἢ πρὸς τιμὴν τοῦ Διός. ὁ γὰρ ἀρκτικὸς κύκλος περιέχει τὰς ἄρ|κτους καὶ τὸν δράκοντα, περὶ ὧν φέ- 83r ρεται ἱστορία μυθική. τὸν Δία ἐν Κρήτῃ τεχθέντα δύο νύμφαι ἐκεῖσε ἔτρεφον· καὶ ἡ μὲν Ἑλίκη ὠνομάζετο, ἡ δὲ Κυνόσουρα· Κρόνου δέ ποτε ἐπελθόντος ὁ Ζεὺς τὸν ἑαυτοῦ πατέρα παραλογιζομένου τὰς μὲν νύμφας μετέβαλεν εἰς ἄρκτους, αὐτὸς δὲ εἰς δράκοντα μετεβλήθη καὶ τῆς βασιλείας ἀντιλαμβανόμενος εἰς τὸν οὐρανὸν φαίνεται μετ' αὐτῶν:

Δεῖ δὲ γινώσκειν, ὅτι ὁ Ἄρατος ἀπὸ Σόλων ἦν τῆς Κιλικίας. ἦν δὲ κατὰ τὸν χρόνον Πτολεμαίου τοῦ Φιλαδέλφου:

Πόσοι πόλοι

δύο· βόρειος καὶ νότιος:

Ὅτι τὰ πέρατα τοῦ ἄξονος πόλοι καλοῦνται· ὁρίζων δὲ ὁ τέμνων τό τε ὑπὲρ|γῆν ἡμισφαίριον καὶ τὸ ὑπὸ γῆν ἐκ τοῦ 83v κειμένου:

Ἄνδρες

ἀντὶ τοῦ ἄνθρωποι· εἴδει ἐχρήσατο τοῦ γένους· τρία δὲ σημαίνει· τὸν γαμέτην· τὸν ἄρρενα· τὸν ἀνδρεῖον:

Τί διαφέρει ἀστὴρ ἄστρου

Ἄστρον μέν ἐστιν ὁλότης καὶ συναγωγὴ ἀστέρων, ὡς ὁ Κριὸς καὶ ὁ Ὠρίων· ἀστὴρ δὲ ὁ εἷς, ὡς ἡ Καρδία τοῦ λέοντος:

Δεῖ γινώσκειν, ὡς κατὰ πέντε αἰτίας ἡ ἀστροθεσία γέγονεν· ἢ καθ' ὁμοίωσιν, ὥσπερ ὁ Σκορπιός· ἢ κατὰ πάθος, ὡς ὁ Κύων· ἢ μυθικῶς, ὡς ἡ μεταβληθεῖσα Καλλιστὼ εἰς ἄρκτον· ἢ κατὰ τιμήν, ὡς Διόσκουροι οἱ δίδυμοι· ἢ διορισμοῦ καὶ διδασκαλίας χάριν, ὡς τὰ πολλὰ τῶν ζῳδίων:|

Περὶ δίκτου 84r

Δίκτη, ἣν καὶ εἶπεν αὐτὸ δίκτος· ἔθος γὰρ παρεναλάσσειν τὰ γένη, ὡς παρ' Ὁμήρῳ χολὴ χόλος. οὕτως δὲ ὀνομά-

6 περιῶν 7 κρίτη 13 σόλων·pro ἄρατος 18 ἐκ τοῦ κειμένου? 29 δίδοιμοι

Digitized by Google

ζεται διὰ τὸ δίκταμον γίνεσθαι ἐν ἐκείνῳ τῷ ὄρει. προσφιλὴς δὲ αὕτη ἡ βοτάνη ταῖς αἰξίν· βέλει γὰρ τρωθεῖσαι καὶ ὀρύττουσαι αὐτὴν ἀποβάλλονται τὸ βέλος:

Ὅτι τριώνυμός ἐστιν ὁ Ἀρκτοφύλαξ

Λέγεται γὰρ Βοώτης καὶ Ὠρίων καὶ Ἀρκτοφύλαξ:

Πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων

Οἱ ἀρχαῖοι ἐφυλάττοντο τοὺς ἐργάτας βοῦς καθιερεύειν. τοῦτο καὶ Ὅμηρος οἶδεν· Βοῦν ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ. Ἧνις, ἠκέστας· ἀσεβὲς γὰρ ἦν τὸν ἀρότην βοῦν φαγεῖν. πρῶτοι|δὲ Ἀθηναῖοι ἐγεύσαντο τῶν τοιούτων βοῶν· 84v ἐπει βοῦς θυσιας ἀγ κατέφαγε [φασὶ δὲ καὶ τοὺ]ς ἑταίρους τοῦ Ὀδυσσέως [τοιούτους] βοῦς κατεδηδοκέναι· ὠργίσθαι δὲ τὸν ἥλιον, ἐπεὶ οἱ ἀροτῆρες βοῦς τοῦ ὁρᾶν ἡμᾶς τὸν ἥλιόν εἰσιν αἴτιοι τροφῆς ὄντες π[ορι]στικοί:

Κεδαιομένους

σκορπιζομένους· εἰ δὲ διὰ τοῦ ρ̄ γράφοιτο, φθειρομένους· ὅθεν τὸ ἀδιά ον ἀκέρατον κ[αλοῦσι διὰ τὴν] στέρησιν τοῦ κέρα[τος]:

Ὅτι τὰ νότια λέγονται κάτω:

---

6 ἐπάσαντο 7 ἀρχαίοι 10 lacunis indicavi quae in ultima pagina aut perierunt aut a me legi nequeunt; quae supplevi uncis inclusi 12 ἑτέρους 15 καὶ δεομένους 16 διὰ τοῦ ρ̄ γραφόμενον est κεραιομένους; ante ὅθεν videtur excidisse aliquid 19 quae in fine sequuntur quinque fere lineas manus multo recentioris legere non potui, nam omnino fere evanuerunt.

Digitized by Google

Extat codex quem descripsi totum Parisiis in bibliotheca quam nunc dicunt Nationalem inter Supplementa Graeca 607 A: quem ex Graecia attulit Minoides Mynas. membranaceus, 190 mm longus, 128 largus (textus 125 et 66), rufa pelle indutus, in fronte indumenti litteris auratis impressum est: Antiquitates Byzantinae, infra: Suppl. Gr. 607 A. continet quaterniones decem et dimidium, folia numeris recenti manu scriptis insignita 84: unaquaeque pagina continet lineas 20 non divisas, stilo, nullo colore ductas, quae excurrunt in marginem binis lineis limitatum.

Exaratus videtur saeculo decimo: scriptura elegans et perspicua, ultimam paginam valde detritam si exceperis. atramento semper eodem librarius antiquus usus est, nunquam rubro. capitum tituli intervallis a ceteris lineis distinguuntur. compendiosa scripturae signa pauca eaque notissima: per compendia scribuntur: ϑεός κύριος μήτηρ οὐρανός παρϑένος πατήρ σταυρός χριστός, interdum ἄνϑρωπος καί, in titulis περί, raro syllabae in fine lineae. ι adscriptum, nunquam subscriptum, haud raro omissum. spiritus asper et lenis saepe confunduntur aut omittuntur, raro accentus. ι initio vocabuli binis punctis notatum semper fere spiritu caret. interaspirationis exempla notavi fere omnia. enclisis regulae centies neglectae. puncta et virgulas tacite posui ubi oportuit.

De Excerptis plura me disputare et otium vetat et modus huic scholasticae commentationi constitutus, afferam modo eos aliorum scriptorum locos, qui aut a nostro excerpti aut ex eodem fonte descripti sunt.

3, 1: Suid. ed. Bernh. I 1 p. 100, 16—101, 10 c. annot. Küsteri ad p. 101, 10. [Codin. de Origg. Constantin. ed. Petrus Lambecius p. 13. non vidi. Crameri Anecd. Bibl. Paris. I 383] Cassius Dio 68, 27.
18: Suid. I 1 p. 852, 3—10. Geo. Codin. ed. I. Bekker p. 28, 5—10. Io. Lyd. ed. idem p. 107, 15—17.
4, 3: Suid. I 1 p. 843, 4—12. Cod. p. 27, 9—28, 4. Lyd. p. 134 5 ss.
12: Suid. I 2 p. 929, 14—20. Lyd. p. 51, 5 ss. [Cod. de Origg. Const. l. l.]
20: Suid. I 1 p. 136, 15—22. [Cod. l. l.]
28: Suid. I 1 p. 628, 8—11.
5, 1: Suid. I 2 p. 1015, 6—1016, 5. Cod. p. 28, 16—29, 8.
15: Suid. I 2 p. 871, 10—13. [Cod. p. 14.]
20: Suid. I 1 p. 906, 6—907, 2. [Cod. l. l.]
24: Suid. I 1 p. 906, 6—907, 2. [Cod. l. l.]
6, 4: Suid. I 2 p. 885.
8: Suid. I 2 p. 715, 7—716, 2. [Cod. l. l.]
18: Suid. I 2 p. 526, 16—527, 4. [Cod. p. 15.]
28:
7, 1: Suid. II 2 p. 407, 13—21. [Cod. l. l.]
13: Suid. I 1 p. 1103, 17—19. [Cod. l. l.]
17: Suid. II 2 p. 705, 12—706, 6. Cod. p. 27, 1—8.
26: Suid. I 2 p. 527, 4—11. [Cod. p. 15.]
8, 3: Cod. p. 55, 7—13.
12: Cod. p. 55, 14—20.
20: Cod. p. 57, 16—58, 3.
28: Suid. I 1 p. 985, 12—986, 2.
9, 10:
14: Suid. II 2 p. 834, 19—835, 5. Cod. p. 16, 16—22. p. 64, 12—65, 11.
26: Suid. II 1 p. 680, 4—681, 5. Cod. p. 65, 14—66, 3.
10, 15: Suid. I 2 p. 178, 14—18. II 2 p. 897, 13—17. Cod. p. 28, 11—15. Cedren. ed. I. Bekker I p. 564, 20. 21.
21: Suid. II 2 p. 886, 18—887, 2. Cod. p. 29, 9—13.
26: Suid. I 2 p. 1136, 5—7. Cod. p. 69, 12—15.
29: Suid. II 2 p. 8[illegible]8, 2—4. I 1 p. 1138, 14—16. II 2 p. 1504, 13 annot. Cod. p. 53, 16—18.
11, 1: Suid. II 1 p. 1039, 5—12. Cod. p. 30, 1—6.
8: Suid. II 2 p. 1529, 10—14. Cod. p. 30, 10—13.
13: Suid. II 1 p. 678, 13—679, 4. Cod. p. 30, 14—31, 2.
23: Suid. I 1 p. 831, 10—14. Cod. p. 31, 3—6.
28: Suid. II 2 p. 442, 10—21. Cod. p. 31, [illegible]—16.
12, 8: Suid. II 1 p. 456, 12—457, 15. Cod. p. 31, 17—32, 15.
25: Suid. I 1 p. 984, 18—985, 7. Cod. p. 33, 1—7.
13, 3: Suid. I 2 p. 662, 15—663, 2. Cod. p. 33, 8—9.
6: Suid. I 1 p. 738, 13—739, 3. II 2 p. 898, 10—16. Cod. p. 33, 10—16.
12: Suid. II 2 p. 384, 15—17. Cod. p. 34, 1. 2.

Digitized by Google

13, 15: Suid. II 1 p. 850, 14—16. Cod. p. 35, 3—6.
19: Suid. II 1 p. 850, 16—19. Cod. p. 35, 11—13.
22: Suid. II 1 p. 850, 19. 20. Cod. p. 38, 10. 11.
25: Suid. II 2 p. 898, 17—20. 1202, 16—20. Cod. p. 36, 12—15.
29: Suid. I 1 p. 960, 19—962, 2. Cod. p. 39, 5—21. 166, 1—168, 2.
14, 14: Suid. II 1 p. 850, 21—851, 11. Cod. p. 40, 1—10. 168, 10—169, 3.
25: Cod. p. 40, 10—16. 169, 20—170, 9.
15, 1: Cod. p. 41, 14—42, 7. 170, 12—171, 19.
17: Cod. p. 45, 11—20. 172, 6—14.
22: Cod. p. 46, 1—7. 173, 9—174, 3.
30: Cod. p. 34, 5—15. 175, 21—176, 13.
16, 8: Cod. p. 51, 12—17. 179, 8—12.
15: Cod. p. 52, 3. 4. 179, 13. 14.
18: Cod. p. 43, 19—44, 11. 180, 12—181, 7.
17, 1: Cod. p. 44, 12—16. 182, 3—9.
7: Cod. p. 40, 17—41, 4. 182, 14—183, 3.
16: Cod. p. 52, 18—53, 1. 183, 4—6.
19: Cod. p. 53, 19—54, 2. 183, 10—14.
24: Cod. p. 54, 8—10. 183, 17—21.
28: Cod. p. 54, 11. 12. 184, 3—5.
31: Cod. p. 56, 1—57, 8. 184, 9—186, 9.
18, 25: Cod. p. 57, 9—15. 186, 10—15.
19, 1: Cod. p. 42, 15—17. 186, 16—18.
5: Cod. p. 43, 13—18. 188, 1—5.
12: Cod. p. 30, 6—9. 188, 10—13.
17: Cod. p. 52, 5—7. 188, 16—19.
21: Cod. p. 36, 16. 188, 21—23.
24: Cod. p. 52, 8. 9. 189, 3.
26: Cod. p. 38, 15—17. 39, 2. 3. 189, 4—6.
30: Cod. p. 36, 20—37, 2. 189, 6—10. 190, 4. 5.
20, 3: Cod. p. 53, 1—3. 190, 18—21.
7: Cod. p. 34, 20. 21. 190, 22—24.
10: Cod. p. 34, 15—20. 191, 1—3.
14: Cod. p. 53, 12. 191, 4. 5.
17: Cod. p. 34, 2—5. 191, 6—9.
20: Cod. p. 38, 13. 14. 191, 16.
23: Cod. p. 53, 14. 192, 1—3.
26: Cod. p. 58, 4—59, 2. 192, 4—193, 2.
21, 11: Cod. p. 193, 3.
12: Cod. p. 52, 14. 15. 193, 8—11.
16: Cod. p. 52, 10—13. 193, 12—14.
20: Cod. p. 45, 1—4.
26: Cass. Dio 76, 12. 13, 3.
22, 20: Procop. ed. Guil. Dindorf II p. 162, 14—163, 19.
23, 12: Procop. II p. 559, 10—560, 6. 561, 19—21. 562, 21—563, 5. 563, 12—15. 565, 19—568, 23.
25, 25: Procop. II p. 560, 13—562, 14
26, 5: Scholia in Iliadem? non inspexi.
28, 4: ibidem?
10: Procop. II p. 45, 6—46, 12.
29, 1: Procop. II p. 116, 19—117, 9.
14: C. Dio 44, 18, 2. Cedren. I p 300, 13—19.
19: C. Dio 44, 17, 1. Io. Antiochenus ap. Car. Müller, fragm. histor. Graec. IV. fr. 73. Cedren. I p. 300, 10. 11.
28: C. Dio 45, 1, 3—2, 2. Io. Antioch. fr. 78, 1.
30, 17: C. Dio 47, 48, 4—49, 2.
27: C. Dio 55, 11, 1.
31, 4: C. Dio 55, 11, 2.
10. 14. 18.
24: C. Dio 65, 1. [Dion. Exc. Vat. p. 218 ed. Rom.] Io. Antioch. fr. 96.
31:
32, 1: C. Dio 67, 16, 2. Io. Antioch. fr. 108.
10: C. Dio 67, 16, 3. Io. Antioch. fr. 108.
22: C. Dio 67, 18, 1. Io. Antioch. fr. 107.
33, 1: Herodot. I 96. 102. 107—119. 122—124. 130.
36, 10: ex Appiani libro primo videntur excerpta esse. Phot. biblioth. rec. I. Bekker p. 16 b 4—17 a 8. C. Dio rec. idem fr. 4.
37, 30: ex Appiani libro ultimo.
38, 22—47 extr. Ioannis Lydi videntur esse.
38, 22: cf. ad Lyd. p. 115, 13 ann. Hasii.
39, 19: Lyd. p. 32—35.
41, 1: Lyd. p. 62, 13—63, 21. p. 30, 13 ss.
24: Lyd. p. 92, 14—18. Phlegont. mirab. 29. Aristol. de anim. hist. 7, 5.
42, 4: Lyd. p. 226, 3—11. Herod. 4, 48—50.
44, 22: Lyd. p. 58, 12—18.
45, 3: Lyd. p. 36, 22—37, 7.
10: Lyd. de ostentis 53. 54.
46, 10: Lyd. p. 49, 12—50, 2. p. 110, 14—111, 5. Nonnus de morb. curat. c. 260.
24: Lyd. de ostentis 44. 45.
48, 1—50, 6: Scholia in Dionysii orbis descriptionem. cf. C. Müller, Geogr. Gr. minores II p. 457b, 5 ss.
50, 7—fin: Scholia Aratea. cf. I. Th. Buhle, Arati Solensis Phaen. et Dios. I p. 264. 265. 54, 28: C. Müller l. l., lin. 39—43. 55, 26: schol. ad v. 27. 55, 31: ad v. 33. 56, 4: ad v. 91. 56, 6: ad v. 132. 56, 15: ad v. 159.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google